Ἱππαλέην δ' ἄγρην ὁ φαεσφόρος εὕρετο Κάστωρ·
καὶ τοὺς μὲν κατέπεφνεν ἐπίσκοπον ἰθὺς ἄκοντι
βαλλόμενος, τοὺς δ' αὖτε θοοῖς ἵπποισιν ἐλαύνων
θῆρας ἕλε ξυνοχῇσι μεσημβρινοῖο δρόμοιο.
Πρὸς δὲ μόθους θηρῶν κύνας ὤπλισε καρχαρόδοντας
διογενὴς πρῶτος Λακεδαιμόνιος Πολυδεύκης·
καὶ γὰρ πυγμαχίῃσι λυγροὺς ἐναρίξατο φῶτας,
καὶ σκυλάκεσσι θοοῖς βαλιοὺς ἐδαμάσσατο θῆρας.
Ἔξοχα δ' ἐν σταδίοισιν ὀρειοτέροισι μόθοισιν
Οἰνείδης ἤστραψεν ἐνυάλιος Μελέαγρος.
Ἄρκυας αὖτε βρόχους τε καὶ ἀγκύλα δίκτυα πρῶτος
Ἱππόλυτος μερόπεσσιν ἐπακτήρεσσιν ἔφηνε.
Σχοινῆος πρώτη δὲ κλυτὴ θυγάτηρ Ἀταλάντη
θηρσὶ φόνον πτερόεντα συηβόλος εὕρετο κούρη.
Νυκτερίους δὲ δόλους, νυχίην πανεπίκλοπον ἄγρην,
Ὠρίων πρώτιστος ἐμήσατο κερδαλεόφρων.
Τόσσοι μὲν θήρης κρατεροὶ πάρος ἡγεμονῆες.
Πολλοὺς δ' αὖ μετόπισθεν ἔρως ἐδαμάσσατο δριμύς·
οὐ γάρ τις κέντροισι δαμεὶς ἄγρης ἐρατεινῆς
αὖθις ἑκὼν λείψειεν· ἔχει δέ μιν ἄσπετα δεσμά.
Οἷος μὲν γλυκὺς ὕπνος ἐπ' ἄνθεσιν εἴαρος ὥρῃ,
οἵη δ' αὖτε θέρευς γλυκερὴ σπήλυγγι χαμεύνη,
οἵη δ' ἐν σκοπέλοισιν ἐπακτήρεσσι πάσασθαι
τερπωλή· πόσση δὲ χάρις κείνοισιν ὀπηδεῖ
δρεπτομένοις αὐτοῖσι μελιχρῆς ἄνθος ὀπώρης·

κάρηνα : γένεθλα CDEF — 14 ἱπταλέων K || δ' ἄγρην ὁ : ἄγρην δὲ CDEFK || εὕρετο (α suprascripto) G : εὕρατο BCDEF1K — 15 ἐπὶ σκοπὸν Miller, *Oppian's Gedicht von der Jagd*, II, p. 30 || ἄκοντι <διώκων> G — 16 ἵπποισιν : βελέεσσιν ABGHIM : πώλοισιν Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 328 — 17 ξυλοχῇσι BCDEF : ξυλόχοισι Schneider[1], Brunck in ms. Paris. S. gr. 383, f. 34 : ξυστοῖσι Larcher ap. Schneider, *Analecta critica*, p. 41 — 21 θοαῖς G || βαλίοις BCE — 22 ὀρειοτέροισι μόθοισιν : ὀρειοτέροις μελέαγρος A_1 — 25 ὕφηνεν K — 27 εὕρετο (α suprascripto) G : εὕρατο BCDEFK — 28 δόλους : δόλοω G : λόχους CDEFI — 31 δ' : ὁδ' G — 32 τις : τοι M — 33 ἔχοι KM || δέ ἐ δύσλυτα δ. seu δέ μιν ἄλλυτα δ. Brunck in ms. Paris. S. gr. 383, f. 34 v° : δέ μιν ἄσχετα δ. Schneider[2] in *annot.* — 35 θέρους G : θέρος A_3HM || γλυκερή sic A_3C_2K : γλυκερῇ A_1BC_1DEFGHIM — 36 παύσασθαι M — 38 δρεπομένοις A_2BCDEFGHIM : δρεψαμένοις Brodaeus, *Annotationes*, p. 52 || αὖτις δρεψαμένοισι μελιχρῆς Guietus ap. Schneider[1] : αὐτόθι δρεπτομένοισι μ. Brunck

ψυχρὸν δ' ἐξ ἄντροιο προχεύμενον ἄργυφον ὕδωρ
οἷον κεκμηῶσι ποτὸν γλυκερόν τε λοετρόν·
οἷα δ' ἐνὶ ξυλόχοις κεχαρισμένα δῶρα φέρουσιν
ἐν γλυκεροῖς ταλάροισι παρ' αἰπολίοισι νομῆες.
'Αλλ' ἄγε δὴ ταύρων ζηλήμονα πάγχυ γενέθλην
πρῶτον ἀείδωμεν, καὶ μυρίον ἔξοχα νεῖκος
οἷον ὑπὲρ θαλάμοιο πανάγρια δηρίσαντο.
Εἷς βασιλεὺς ἀγέληφι τυραννεύων ὄχ' ἄριστος
βαιοτέροις ταύροις καὶ θηλυτέρῃσιν ἀνάσσει·
πέφρικεν δ' ἀγέλη κεραὸν μέγαν ἡγεμονῆα·
αἱ δ' αὖτε τρομέουσιν ἐὸν πόσιν ἀγριάοντα,
ὁππότε μυκήσητ', ἄγριοι βόες· ἀλλ' ὅτ' ἀπ' ἄλλων
ταῦρος ἀποκρινθεὶς ἀγέλης, πλατὺν αὐχένα τείνας,
οἷος ἴῃ, κἀκεῖνος ἄναξ σφετέροισιν ἀνάσσων,
δὴ τότ' ἐπ' ἀμφοτέροισιν ὑπέρβιος ἵστατ' ἐνυώ.
Πρῶτα μὲν ἀντίπρωρον ἐς ἀλλήλους ὀρόωντες
ἄγρια θυμαίνοντι χόλῳ μέγα παιφάσσουσι,
καὶ πυρόεν πνείουσι, καὶ ἀμῶνται ποσὶ γαῖαν,
οἷα κονιόμενοι· προκαλίζονται δ' ἑκάτερθεν,
ὀξέα κεκληγοντες ἐναλίοισιν ἀϋταῖς·

---

in ms. Paris. S. gr. 392, f. 28 — 40 κεκμηκῶσι BC_1DEF : κεκμηκόσι GHM : κεκμηκότι I — 41 ἐν ACDEFI — 42 γλυκεροῖς : λυγίνοις Pierson, *Verisimilia*, p. 169 : γλαγεροῖς Brunck ap. Schneider[1] — 43 ἀλλά γε BGHIM — 45 οἷον <δ'> A || πανάγρια : πάτρια M : δυσαντεα K — 47 ἀνάσσειν BC_1DEF — 48 πέφρικε AGIM : πεφρίκει CDEFK : πεφρέκει B — 49 αὖτε : αὖ A || ἀγριόωντα C_1E : ἀγριωόντα F : ἀγριόντα D || αἱ δ' αὐταὶ τρομέουσιν ἐὸν πόσιν ὀργώωσαι Brunck ap. Schneider[1] in *animadv.* : αὐταὶ δὲ τρομ... ὀργώωντα vel ὀργώωσαι Brunck in ms. Paris. S. gr. 392, f. 28 — 50 μυκήσαιτ' CFK : μυκήσαιντ' BDE : μηκύσατ' I || ἄγριον GI || ἀπ' ἄλλων sic A_2 in litura M : ἐπ' ἄλλω $A_1BCDEFGHK$: ἔπ' ἄλλης I : ἐπ' αὐτῶ Guietus ap. Schneider[1] : ἀπ' ἄλλης Schneider[2] : ἐπαύλων A.-M. Desrousseaux, quam conjecturam mecum communicavit — 50— 51 ἀλλ' ὅτε ταῦρος | ἄλλος ἀποκρινθεὶς Jacobs, *Tzetzae Posthomerica*, ad v. 320 (ἄλλος pro ταῦρος conjecerat Brunck ap. Schneider[1]) — 51 τείνει I : σείων A_2 in rasura BCDEFK : + εί + + A_1 — 52 οἷος ABCDEFK : οἷον M : ταῦρος Brunck ap. Schneider[1] || ἴῃ Turnebus : ἔῃ $A_1BDEFGHIK$: εἴῃ C_1 : ἔην A_2M : τ' ἦ C_2 in marg. || σφετέραισιν Turnebus : σφετέρῃσιν Brunck in ms. Paris. S. gr. 392, f. 28 — 53 ἐνυώ : ἐνιπῇ (γρ. ἐνυώ in marg.) G : ἐνυπη H — 54 ἀντίπρωροι Schneider[2] || ἐς om. HIM — 55 παιφάσσουσι <καὶ> G — 56 καὶ, ante πυρόεν, om. G — 57 δ' om. A_1 — 58 ἀναλίῃσιν B : ἐνυαλίῃσιν Asulanus in ed. Aldin., quem secuti sunt

αὐτὰρ ἐπεὶ σάλπιγξαν ἐφ' ὑσμίνην ἀλεγεινήν,
ἄσχετον αἰσσουσιν, ἑοῖσι δ' ἄφαρ κεράεσσι
πᾶν δέμας ἀλλήλοισιν ἀμοιβαδὶς οὐτάζουσιν.
Οἷα δ' ἐνὶ πτολέμῳ βυθίῳ, ὅτε ναύμαχος Ἄρης
δῆριν ἀείρηται, δοιαὶ πανυπείροχα νῆες
στράπτουσαι θαμινοῖσιν ἐναντίον ὁπλίτῃσιν
ἀντίβιον πρώρῃσι μετωπαδὸν ἐγχρίμπτονται,
σπερχόμεναι πνοιῇ τε λάβρῳ παλάμῃφι τε ναυτῶν·
ἔντεσι χαλκείοις δὲ περιβρέμεται κτύπος ἀνδρῶν
νηῶν τ' ἀγνυμένων· στένεται δ' ὅλος οἴδματι Νηρεύς·
τοῖος καὶ ταύροισιν ἐς αἰθέρα δοῦπος ἱκάνει,
θεινόντων ἄμοτον καὶ θεινομένων κεράεσσιν,
εἰσόκε δή τις ἕλῃσι φίλην ἑτεραλκέα νίκην.
Αὐτὰρ ὅγ' οὔτι φέρει δοῦλον ζυγόν· αἰδόμενος δὲ
καὶ βαρέα στενάχων ἐπὶ δάσκιον ἦλυθεν ὕλην·
οἷος δ' ἐν σκοπέλοισι περιπλομένων ἑνιαυτῶν
φέρβετ' ὀρειαύλοισιν ἀποσταδὸν ἐν ξυλόχοισιν
οἷά τις ἀθλεύων· βριαρὸν δ' ὅτε κάρτος ἵκηται
καὶ σθένος ἀμφήριστον, ἀνέκραγεν αὐτίκ' ὄρεσφιν·
αὐτὰρ ὅγ' ἀντήυσεν· ἐπεσμαράγησε δὲ δρυμιών·
ἀλλ' ὅτε θαρσήσειε κραταιοτέρῃσιν ἀϋταῖς,
δὴ ῥα τότ' ἐξ ὀρέων ἐπὶ δῆϊον εὐθὺς ἱκάνει,
ῥεῖα δ' ἔλεν· φορβαῖς γὰρ ἐὸν δέμας ἐξήσκησε
τηλόθ' ἐνὶ δρυμοῖσι σθενοβλαβέος Κυθερείης.
Εἴδεα πολλὰ πέλει δὲ καὶ ἤθεα μυρία ταύροις.
Αἰγύπτιοι μὲν ἔασι παρ' ὄχθαις ἀγλαοκάρποις

---

omnes || ἀϋτμαῖς BCDEF — 59 ὁσμήνην KM — 61 ἀλλήλοιϊν Brunck ap. Schneider[1] — 62 βυθίων ACDEFIK || Ἄρης : ἀνὴρ K — 63 ἀείρηται, δοιαὶ : ἀείρησ' (ἀείρητ' C_2) ἐν δὲ θοαὶ C_2K || πανυπείροχαι A_2HI : πανυπείροχοι BCDEFM — 65 ἀντίβολον CDEF — 66 πνοιῇ (τε om.) λάβρῃ K — 68 στένεται : θένεται Rittershusius — 70 θεινόντων <τ'>... θεινομένων K — 72 δοῦλον : φίλον A_1 — 74 σκολόποισι M — 78 ὅγ' : ὅδ' BCDEF || δὲ : τε A_2 in rasura BCDEFK : + + A_1 — 79 ἀϋτμαῖς CDEF — 80 εὐθὺς : αὐτὸς A_2 in litura BCDEFK — 81 ἕλε AI : ἕλα G || φορβεῖν M || δ' ἄρ ἐὸν I : + αρ + ὸν A_1 (γὰρ ἐὸν A_2 in rasura) — 82 τηλόθ' Brodaeus, *Annotationes*, p. 54. Cf. *Paraphr.*, p. 20, 19 ἀποσχόμενος : δὴ τότ' ABC$_2$GHIKM : δή ποτ' C_1DEF || δρυμοῖς ABHKM || σθενεοβλαβέος AK — 83 καὶ : κατ' C_2K : κἀὶ κατ' C_1DEF — 84 Αἰγύπτιοι Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 383, f. 35 v° (cf. Tüselmann, *Neue philolog. Rundschau*, 1894, p. 19) : αἰγύπτου (—που

Νείλου πυροφόροιο πολυσχιδέος ποταμοῖο
χιόνεοι χροιὴν, μέγεθος πάντων ὄχ' ἄριστοι·
φαίης κεν κατὰ γαῖαν ἴμεν βαθυτέρμονα νῆα·
ἥπια δὲ φρονέουσι καὶ ἠθαλέοι μερόπεσσιν,
ὅττι βροτοὶ δ' ἐνέπουσιν, ἐνηῆες ἀνέχονται.
Οἱ Φρύγιοι χροιὴν μὲν ἀριπρεπέες τελέθουσι,
ξανθοί τε φλογεροί τε· βαθεῖαι δ' αὐχένι σάρκες·
σφαιρωτός τ' ἐφύπερθε μετήορος ὤψι κόρυμβος.
Ξείνη δ' ἐν κεράεσσι φύσις κείνοισι τέτυκται·
οὐ γάρ τοι κρατερῇσιν ὑπὲρ κεφαλῇφι πέπηγε,
κινοῦσιν δὲ κέρατα καὶ ἀγκλίνουσ' ἑκάτερθε.
Μώνυχες Ἀόνιοι, στικτὸν γένος, οἰοκέρωτες,
ἔκ τε μέσου κέρας αἰνὸν ἐπαντέλλουσι μετώπου.
Ἀρμενίοις δίδυμον μὲν ἀτὰρ κέρας εἰλικόμορφον
αἰχμῇσιν, μέγα πῆμα, παλίνστροφον ἠέρτηται.
Οἱ Σύριοι ταῦροι δὲ, Χεροννήσοιο γένεθλα,
αἰπεινὴν τοὶ Πέλλαν ἐύκτιτον ἀμφινέμονται,
αἴθωνες, κρατεροὶ, μεγαλήτορες, εὐρυμέτωποι,
ἄγραυλοι, σθεναροὶ, κεραλκέες, ἀγριόθυμοι,

G) mss : Αἰγυπτίου Guietus ap. Schneider[1] — 88 αἰθαλέοι M — 89 ἐνέπουσιν, ἐνηῆες ἀνέχονται e Vaticano 118 B. de Ballu. De ἐνηῆες cf. Rzach, *Sitzungsberichte. Wien*, C, 1882, p. 415 : ἐνέπουσιν ἐνηῆες <δ'> ἀνέχονται K : ἐνέπουσιν ἐνηῆες εἰσανέχονται M : ἐνέπουσινενηεες ἀνισχονται A_2 in rasura : ἐνέπουσι νεήνιαι εἰσανέχονται (—χοντο F) BDEFH : ἐννέπουσι ννεηνίαι εἰσανέχονται C : ἐνέπουσι νέηνέαι εἰσανέχονται I : ἐνέπουσιν. εήνεαι (cum glossa πορευθῆναι), εἰσανέχονται G : ἐνέπουσινε + + + + + ἀν + χονται A_1 : V. *Paraphr.*, p. 20, 23 ἀνεχόμενος : ἐνηῆες παρέχονται Gerhardius, *Lectiones Apollonianae*, p. 117 : ἐνηείῃσι δέχονται Miller, *Oppian's Gedicht von der Jagd*, II, p. 33 : ἐνηείῃσ' ἀνέχονται Tüselmann, *Neue philolog. Rundschau*, 1894, p. 19 — 92 τ' : θ' A : δ' BCDEFHIM || ὑψικόρυμβος D, Turnebus in var. — 94 κρατερῇφι Schneider[2] || κεφαλῆσι BCDEFKM. Cf. Opp., *Hal.*, V, 391 κεφαλῇφιν... οὐταμένῃσι — 95 κινοῦσιν (Cf. *Paraphr.*, p. 20, 27 κινεῖται et Aristot., *Hist. anim.*, III, 9, 3... ἐν Φρυγίᾳ εἰσὶ βόες... οἳ κινοῦσι τὰ κέρατα) : κλίνουσι HM || ἐγκλίνουσ' BCDEFK — 97 ἐπαντέλλουσι sic K, quod scripserat Schneider[1]. Cf. III, 476 : ἀπαντέλλουσι ABCDEFGHIM — 98 ἀρμενίαις B : ἁρμονίαις AGHIK$_1$M : ἁρμονίης Σ. Vide *Paraphr.*, p. 20, 29 sqq. — 99 παλίστροφον B. de Ballu || ἠώρηται CDEFK — 100 χερονήσοιο BC_1DFG : χερρονήσοιο I : χερσονήσοιο M — 101 τοὶ : θ' οἱ BCDEFK || ἐύκτιστον BCDFM : ἐύκτιων E — 103 κερεαλκέες CDEF : κεραελκέες B. de Ballu in not. —

μυκηταὶ, βλοσυροὶ, ζηλήμονες, εὐρυγένειοι·
ἀλλ' οὐ πιαλέοι δέμας ἀμφιλαφὲς βαρύθουσιν,
οὐδὲ πάλιν λιπόσαρκες ἐὸν δέμας ἀδρανέουσιν·
ὣδε θεῶν κλυτὰ δῶρα κερασσάμενοι φορέουσιν,
ἀμφότερον κραιπνοί τε θέειν σθεναροί τε μάχεσθαι.
Κεῖνοι, τοὺς φάτις ἔσκε Διὸς γόνον Ἡρακλῆα
καρτερὸν ἀθλεύοντ' ἀγέμεν πάρος ἐξ Ἐρυθείης,
ὁππότ' ἐπ' Ὠκεανῷ δηρίσατο Γηρυονῆϊ,
καὶ κτάνεν ἐν σκοπιῇσιν· ἐπεὶ πόνον ἄλλον ἔμελλεν
οὐχ Ἥρῃ τελέειν οὐδ' Εὐρυσθῆος ἐνιπαῖς,
Ἀρχίππῳ δ' ἑτάρῳ, Πέλλης ἡγήτορι δίης.
Ἦ γάρ τοι προπάροιθε παραὶ πόδας Ἐμβλωνοῖο
πᾶν πεδίον πελάγιζεν· ἐπεὶ πολὺς αἰὲν Ὀρόντης
ἵετ' ἐπειγόμενος, χαροποῦ δ' ἐπελήθετο πόντου,
δαιόμενος Νύμφης κυανώπιδος Ὠκεανίνης·
δῄθυνεν δὲ πάγοισι, κάλυπτε δ' ἐρίσπορον αἶαν
οὔτι θέλων προλιπεῖν δυσέρωτα πόθον Μελιβοίης.
Οὔρεσί τ' ἀμφοτέρωθε περίδρομος ἐστεφάνωτο
τειναμένοις ἑκάτερθεν ἐπ' ἀλλήλοισι κάρηνα·
ἦϊεν ἀντολίηθε Διόκλειον δέμας αἰπὺ,
ἐκ δ' ἄρα δυσμάων λαιὸν κέρας Ἐμβλωνοῖο,
αὐτὸς δ' ἐν μεσάτοισιν ἐπαιγίζων πεδίοισιν,
αἰὲν ἀεξόμενος καὶ τείχεος ἐγγὺς ὀδεύων,
χέρσον ὁμοῦ καὶ νῆσον, ἐμὴν πόλιν ὕδασι χεύων.
Τοὔνεκεν αὐτίκ' ἔμελλε Διὸς γόνος ἀμφοτέροισι
νάματα μετρήσειν ῥοπάλῳ καὶ χερσὶ κραταιαῖς,
ὕδατα δ' ἐκ πεδίοιο διακριδὸν ἰθύνεσθαι

---

104 ἠϋγένειοι Miller, *Oppian's Gedicht von der Jagd*, II, p. 35 — 105 βαρύνουσι BC_1DEF — 106 λειπόσαρκες GIM : λιπόσαρκοι CDEF : λιποσαρκὲς Schneider[1] in *animadv.* — 108 ἀμφότεροι GHI — 109 Κεῖνοι, τοὺς : καί νύ κε τοὺς Guietus ap. Schneider[1] : κείνους τοι Brunck, *ibid.* || ἔσχε K_1 — 110 ἀθλεύοντα γε μεν M — 113 Ἥρης Schneider[2] in *annot.* — 114 δίης : δῶκε(ν) C_2K — 116 ὀρρόντης GHIM : ὀρώντης BCDEF — 117 ἵητ' M || χαλεποῦ IK || δ' : τ' I || ἐπιλήθετο B : ἐπελήθεντο I — 118 δευόμενος A_2 in litura HM — 121 ἐστεφάνωται AGHIM — 122 τεινομένοις K — 123 ἤιον M : ἤιε <δ'> GI || διοίκλειον G : διοκχέιον M : διοκλείων Brodaeus, *Annotationes*, p. 58 || δέπας A_1 : λέπας I — 124 χαιὸν M : λαον C_1 : αινὸν K_1 — 125 ἐπήγαζε Guietus ap. Schneider[1] : ἐπαίγιζεν Schneider[1] — v. 127 om. I || ἐμὴν : ἔδη B. de Ballu, p. xv || ὕδατι Schneider[2] sine ulla mutationis mentione || χεῦεν Schnei-

εὐπλοκάμου λίμνης ἠδ' εὐτροχάλου ποταμοῖο.
Ἔρξε δὲ πουλὺν ἄεθλον, ἐπεὶ στεφάνην διέκερσεν
ἀμφιβόλων ὀρέων, λῦσεν δ' ἄπο λάϊνα δεσμὰ,
καὶ ποταμὸν προέηκεν ἐρευγόμενον προμολῆσιν,
ἄσχετα κυμαίνοντα καὶ ἄχρια μορμύροντα,
ἴθυνεν δ' ἐπὶ θῖνας· ὁ δ' ἔβραχεν ἠπύτα πόντος,
καὶ Συρίου κονάβησε μέλαν δέμας αἰγιαλοῖο.
Οὐ τοίω γ' ἐκάτερθε πολυσμαράγοιο θαλάσσης
ἀντιπόρω ποταμὼ καταβαίνετον ὕδατι λάβρῳ·
ἔνθεν μὲν Βορέαο τεμὼν ἀργῆτα χαλινὰ,
ἂν Σκυθίην Ἴστρος λέλακεν μέγα πάντοθε πάντῃ,
συρόμενος κρημνοῖσι καὶ ὑδατοπλήγεσιν ἄκραις·
τῇ δ' αὖτ' ἐκ Λιβύης ἱερὸν ῥόον Αἰγύπτοιο
ἀμφὶ ἑ ῥηγνύμενον τρομέει ταναηχέτα πόντος.
Ὡς ποταμὸς κελάρυζε μέγας περὶ θῖνας Ὀρόντης
σμερδαλέον μύκημα· πελώρια δ' ἴαχον ἀκταὶ
δεχνύμεναι κόλποισι νεήλυδος οἶδμα θαλάσσης·
γαῖα δ' ἀνέπνευσεν μελανόχροος, οὐθατόεσσα,
κύματος ἐξαναδῦσα, νέον πέδον Ἡρακλῆος.
Πάντῃ δ' εἰσέτι νῦν σταχυηκομέουσιν ἄρουραι,
πάντῃ δ' ἔργα βοῶν θαλερὰς βέβριθεν ἀλωὰς
Μεμνόνιον περὶ νηὸν, ὅθ' Ἀσσύριοι ναετῆρες
Μέμνονα κωκύουσι, κλυτὸν γόνον Ἠριγενείης,
ὃν ποτε Πριαμίδαισιν ἀμυνέμεναι πελάσαντα
θαρσαλέος πόσις ὦκα παρέδραμε Δηϊδαμείης.

---

der[1] — 130 ὕδατι A_1GH — 134 προβολῆσι I — 135 ἄσπετα K — 136 ἠπύτα Guietus ap. Schneider[1] : αἰπύτα (ἐπητα M) mss || πόντος ἔπειτα Turnebus — 139 καταβαίνετο C_1 : κατεβαίνετο A_1BDEF : κατεβαίνετον A_2 : καταβαίνοντι I — 140 ταμὼν Brunck ap. Schneider[1] || ἀργῆντα Guietus, *ibid.* || χαλινὸν C_2K : χαλιναὸν M : κέλευθα Brunck, *loc. cit.* — 142 ὑδατοπλήγεσιν Guietus, *ibid.* : ὑδατοπήγεσιν (-πηγέ- GM) mss — 143 Λιβύης : λίβρης AC_1DEF : λίμνης C_2K — v. 144 om. I || ἀμφί ἑ : ἀμφὶς GH || ἀτρομέει : προχέει C_2 in marg. K || ταναηκέα aut ταναηχέα Brodaeus, *Annotationes*, p. 60 — 145 περὶ : ἐπὶ C || ὀρρόντης GHM : ὁρώντης B — 146 σμερδαλέως M || πελώριον HM — 149 κύματος <δ'> CDEF || ἐξανδῦσα GHM : ἐξαναδῦναι I — 150 σταχυικομέουσιν A_2 in litura BGHM : στάχυϊ κομόωσιν d'Arnaud, *Lectiones graecae*, p. 211 : σταχυηκομόωσιν Schneider[1] — v. 152 om. A_1, restit A_2 in marg. || ὅτ' A_2BCDEFI — 153 κωκύουσι : δακρύουσι C_1DEF : δακρυέουσι B — 154 ὁππότε A_1GHI || πριαμίδῃσιν BCDEFK — 155 διέδραμε I : γρ. δαμάσσατο (supra

Ἀλλὰ τὰ μὲν κατὰ κόσμον ἀείσομεν εὐρέα κάλλη
πάτρης ἡμετέρης ἐρατῇ Πιμπληΐδι μολπῇ·
νῦν δὲ παλίντροπος εἶμι κλυτὴν θήρειον ἀοιδήν.
Ἔστιν ἀμαιμάκετον φονίοις ταύροισι γένεθλον,
τοὺς καλέουσι βίσωνας· ἐπεὶ πάτρης τελέθουσι
Βιστονίδος Θρῄκης· ἀτὰρ ἔλλαχον εἴδεα τοῖα·
φρικαλέον χαίτην μὲν ἐπωμαδὸν αἰθύσσουσιν
αὐχέσι πιαλέοισι καὶ ἀμφ' ἀτπλοῖσι γενείοις·
οἷά τε λαχνήεντες ἀριπρεπὲς εἶδος ἔχουσι
ξανθοκόμαι, βλοσυροὶ, θηρῶν μεδέοντε λέοντες·
ὀξεῖαι κεράων δὲ πυριγλώχινες ἀκωκαὶ
χαλκείοις γναμπτοῖσιν ἐπείκελοι ἀγκίστροισιν·
ἀλλ' οὐχ ὡς ἑτέροισιν ἐναντίον ἀλλήλοισι
νεύουσι στυγερῶν κεράων ἐπικάρσιον αἰχμαὶ,
ὕπτια δ' εἰσορόωντα πρὸς αἰθέρα φοίνια κέντρα.
Τοὔνεκεν, ὁππότε δή τιν' ἐπιχρίμψωσι κιόντες
ἢ βροτὸν ἤ τινα θῆρα, μετήορον ἀείρουσι.
Γλῶσσὰ δὲ τοῖς στεινὴ μὲν, ἀτὰρ τρηχεῖα μάλιστα,
οἷα σιδηροβόροιο πέλει τέχνασμα σιδήρου·
γλώσσῃ δ' αἱμάσσοντες ἀπὸ χρόα λιχμάζουσι.
Ναὶ μὴν ὠκυπόδων ἐλάφων γένος ἔτραφεν αἶα
εὐκέραον, μεγαλωπὸν, ἀριπρεπὲς, αἰολόνωτον,
στικτὸν, ἀρίζηλον, ποταμηπόρον, ὑψικάρηνον,

παρέδραμε scriptum) G : δαμάσσατο C_1DEF — 160 βίσωνας Gesnerus, *de quadrupedibus*, p. 144 : βίωνας (σσο supra ω scriptum est) G : βίωνας AΣ : βιῶνας HM : βίστωνας BC_1DEF : βίτωνας C_2K : βίωτας I : βίσωντας Salmasius, *Plinianae exercitationes*, p. 163 : βίστοννας Niclas, *Geoponic. libb. XX, addenda* ad p. 3 — 162 φρικαλέην BCDEFK || χαιτὴ A : χαίτη I || αἰθύουσιν CDEF — 163 ἀμφ' ἀπαλοῖσι CF_2 : ἀμφιθαλεῖσι Brodaeus, *Annotationes*, p. 64 — 165 ξανθοκόμοι BCDEFM || μεδέοντες C_1DEF — vv. 166-197 om. A_1, restit. A_5 — 166 περιγλώχινες C_1DEFGI — 167 γναμπτοῖς ἐπιείκελοι (—λαι K) C_2K — 168 ἕτεροι συνεναντίον Guietus ap. Schneider[1] — 169 ἐπικάρσιον αἰχμαὶ scripsi : ἐπικάρσιον αἰχμὴν mss : ἐπικάρσιοι αἰχμαὶ Schneider[1] in *animadv.* — 170 εἰσορόωσι Schneider[1], *ibid.* — 171 ὁππότε τ' οὔνεκε(ν) (τοῦ— H) A_5HM || δὴ : κεν BCDEF || κιχόντες CDEF — 172 αἰωροῦσι Brunck in ms. Paris. S. gr. 383, f. 37 — 173 τοῖς : τις (οῖ supra ι scriptum est) I : τοι BCEFK : τι D — v. 174 om. M || τεχνάσματα ῥίνης Tüselmann, *Paraphr.*, p. 22 not. — 175 λιγμάζουσι A_5H : λικμάζουσιν I : λιχμάζοντες Brunck in ms. Paris. S. gr. 383, f. 37 — 176 ἔτρεφεν B —

πιαλέον νώτοις καὶ λεπταλέον κώλοισιν·
οὐτιδανὴ δειρὴ καὶ βαιοτάτη πάλιν οὐρή·
τετράδυμοι ῥῖνες, πίσυρες πνοιῇσι δίαυλοι·
ἀδληχρὴ κραδίη καὶ θυμὸς ἔσωθεν ἄναλκις,
καὶ κωφαὶ κεράων αἰχμαὶ τόσον ἀντέλλουσιν·
οὔ ποτε γὰρ κεφαλῇφιν ἐναντία δηρίσαιντο,
οὐ θηρσὶ κρατεροῖς, οὐκ ἀργαλέοισι κύνεσσιν,
οὐδ' αὐτοῖς δειλοῖς λασιοκνήμοισι λαγωοῖς.
Τρηχὺς δ' αὖτ' ἐλάφοισιν ἔρως πολλή τ' Ἀφροδίτη,
καὶ θυμὸς ποτὶ λέκτρον ἀναιθόμενος πρόπαν ἦμαρ,
οἷον ἀειθούροισιν ἀλεκτρυόνεσσι μαχηταῖς,
πᾶσίν τ' ἀνθοκόμοις πτεροείμοσιν οἰωνοῖσι.
Κεύθουσιν λαγόνεσσι δ' ὑπ' αὐτὴν ἔνδοθι νηδὺν
ἀμφιδύμους ὁλκούς· τοὺς εἴ κέ τις ἀμήσειεν
αὐτίκα θῆλυν ἔθηκε, πρόπαν δ' ἀπέρευσε καρήνων
ὀξύκομον κεράων πολυδαίδαλον αἰόλον ἔρνος.
Οὐ μὲν ἄρ' εἰς εὐνὴν γάμιος νόμος οἷά τε θηρσὶ
τοῖς ἄλλοις· ξεῖνοι δὲ πόθοι κείνοισι μέλονται·
οὔτε γὰρ ἑσταότες παρὰ τέμπεσιν ἀγρονόμοισιν,
οὔτ' ἄρα κεκλιμένοι χθαμαλοῖσιν ἐπ' ἄνθεσι ποίης
θηλυτέραις ἐλάφοισιν ὁμιλαδὸν εὐνάζονται,
ἀλλὰ ποσὶ κραιπνοῖσι θέων ἐκίχανε θέουσαν·
φεύγουσαν μάρπτει δὲ καὶ ἀγκὰς ἔχει παράκοιτιν·
ἀλλ' οὐδ' ὣς παρέπεισε· φέρουσα πόσιν δ' ἐπὶ νώτου
ἐμμενέως φεύγει, παναμείλιχον ἦτορ ἔχουσα·
αὐτὰρ ὅγ' ἐσπόμενος δισσοῖς λαιψηρὰ πόδεσσιν
οὐ μεθίησι πόθον, γαμίους δ' ἐτελέσσατο θεσμούς.
Ἀλλ' ὅτε δὴ μετόπισθε περιπλομένῃσι σελήναις

---

181 πνοοῖσι M — 182 ἀμβληχρὴ A_5GHM — 183 κεράτων BCDEFK : κερ 'ων G — 184 κεφαλῆσιν K || δηρίσαιτο A_5BCDEFH : δηρίσαντο K — 187 αὖτ' : εἰν G : ἐν IM : εἰς A_5H. V. autem *Paraphr.*, p. 22, 23 Πολὺ δὲ καὶ τούτοις... — 191 ἔνδοθε A_5BM : ἔνδοθεν H — 192 κέ sic K, quod scripserat Turnebus : καί A_5BCDEFGHIM || ἀμήσαιεν K — 196 ξένιοί A_5B : ξείνιοί C_1DEFGHI. Cf. II, 93 ξείνη... φύσις || δὲ : τε A_5BC_1DEFGHIM || πόθοι : γάμοι C_2K — 198 desin. A_5, rursus incipit A_1 || ἄρ BCDEF || κεκλιμένοις AHI : κεκλιμέναις B. de Ballu — 199 θηλυτέρης BCDEFK — 202 νῶτα (οῦ suprascripto) A : νῶτα GHKM — v. 203 om. A_1, restit. A_2 in marg. || εὐμενέως K : ἐμμενέα M — 204 ὅγ' ἑπόμενος (ἑ— H) HM : ὁ ἑπόμενος (ἑ—E) CDEF: ὅγε σπόμενος Schneider[2] — 205 πόθον : ποδῶν A_1H || γαμίους : γάμου K || δ' om. A || ἐτέλεσσε

θηλυτέρη τίκτει, τρίβον ἀνθρώπων ἀλεείνει,
οὕνεκεν ἀτραπιτοὶ μερόπων θήρεσσι βέβηλοι.
Ἔξοχα δ' ἐν θήρεσσιν ἐπ' ἀγλαΐῃ κομόωσιν
ἄρσενες εὐκέραοι, πολυδαίδαλον ἔρνος ἔχοντες·
ἦ γὰρ ἐϋσχιδέων κεράων ὥρῃσι πεσόντων,
βόθρον μὲν κατὰ γαῖαν ὀρυξάμενοι κατέθαψαν,
ὄφρα κε μή τις ἕλῃσιν ἐπ' αὔλακος ἀντιβολήσας·
κεύθονται δ' αὐτοὶ πυμάτοις λασίοισί τε θάμνοις,
αἰδόμενοι θήρεσσι καρήατα τοῖα φανῆναι
γυμνὰ, τά τοι προπάροιθε μετήορον ἀείροντο.
Ἀμφίβιοι δ' ἔλαφοι· καὶ γὰρ τραφερὴν περόωσι
καὶ πόντον πατέούσιν, ὁμόστολον ἀλλήλοισι
ναυτιλίην πλώοντες, ὅτ' ἐξανύουσι θάλασσαν·
πρόσθε μὲν εἷς ἐλάφοισιν ἐπὶ στίχας ἡγεμονεύει,
οἷα κυβερνητὴρ μεθέπων οἰήϊα νηός·
τῷ δ' ἕτερος κατὰ νῶτον ἐρειδόμενος μετόπισθε
δειρὴν ἠδὲ κάρηνον ὁμαρτεῖ ποντοπορεύων·
ἄλλος δ' ἄλλον ἔπειτα φέρων τέμνουσι θάλασσαν.
Ἀλλ' ὅτε νηχόμενον κάματος πρώτιστον ἔχῃσι,
στοῖχον ὁ μὲν προλιπὼν ἔμολεν ποτὶ τέρμα φάλαγγος,
παύσατο δ' ἀγκλινθεὶς ἑτέρῳ βαιὸν καμάτοιο·
ἄλλος δ' αὖτ' οἴηκας ἔχων ἐπὶ πόντον ὁδεύει·
Πάντες δὲ πλώοντες, ἀμοιβαδὶς ἡγεμονῆες,
ποσσὶ μὲν οἷα πλάταισιν ἐρέσσουσιν μέλαν ὕδωρ,
ὕψι δ' ἀνίσχονται κεράων πολυήρατον εἶδος,
οἷά τε λαίφεα νηὸς ἐπιτρέψαντες ἀήταις.

I — 206 περιπλομέναισι K — 207 τρίβον ἀνδρῶν οὐκ ἀλ. Gesnerus, *de quadrupedibus*, p. 363 — 210 ἄρνος M : ἦτορ K — 211 ἐπισχεδίων K — 212 καταγαῖον M — 214 λασίῃσί B — 216 ἀείροντο (ται suprascripto) G : ᾐωροῦντο Brunck in ms. Paris. S. gr. 383, f. 38 — 217 περόωσι : πατέουσι IK, quod conjecerat Brunck ap. Schneider[1] || ἀντίστροφη A_2 supra vers. — 218 πατέουσιν : περόωσιν IK, quod conjecerat Brunck, *ibid.* — 219 ἐξανύσωσι BC_1DEF : ἐξανύσοὺσι I — 220 εἷς : οἷς M || ἐπὶ στίχας : ἐπιστείλας C_1 — 223 ὁμαρτεῖ (τῇ suprascripto) G : ὁμαρτῇ BCDEFH — 224 τάμνουσι(ν) CDEF : τάμνῃσι B — 225 νηχόμενος κάματον CDEFK : νηχόμενον κάματον M || ἔχῃς C_1D : ἔχῃσεν EF : ἕλῃσι GI || νηχομένων κάματος τὸν πρῶτον ἔχῃσι Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 383, f. 38 — 226 ἔμηλε M : ἔμολπε G — 227 ἐγκλινθεὶς K. Cf. *Paraphr.*, p. 23, 10 ἐπικλινόμενος — 230 πλάτεσσιν AI : πλάτῃσιν CDEFK — 231 πολύκρατον G : πολύκραιτον H — 232 ἐπιστρέψαντες A —

Ἔχθος δ' ἀλλήλοισιν ἀνάρσιον αἰὲν ἔχουσι
πᾶν ὀφίων ἑλάφων τε γένος, πάντῃ δ' ἐρεείνει
οὔρεος ἐν βήσσῃς ἔλαφος θρασὺν ἑρπηστῆρα.
Ἀλλ' ὅτ' ἴδῃ στροφάλιγξιν ὑφαινόμενον δολιχαῖσιν
ἴχνος ὀφιόνεον, μέγα καγχαλόων ἀφικάνει
ἄσσον φωλειοῦ, ῥῖνας δ' ἐπεθήκατο χειῇ,
πνοιῇσιν λάβρῃσιν ἐφελκόμενος ποτὶ δῆριν
ἑρπετὸν οὐλόμενον· τὸν δ' οὐκ ἐθέλοντα μάχεσθαι
ἄσθμα βιησάμενον μυχάτης ἐξείρυσεν εὐνῆς·
αἶψα γὰρ εἴσιδεν ἐχθρὸν, ἐς αἰθέρα θ' ὑψόσ' ἀείρει
λευγαλέην δειρήν· λευκοὺς δ' ὑπέσηρεν ὀδόντας,
ὀξέα πεφρίκοντας· ἐπικροτέει δὲ γένειον
πυκνοῖς φυσιόων συρίγμασιν ἰοφόρος θήρ.
Αὐτίκα δ' αὖτ' ἔλαφος, καὶ μειδιόωντι ἐοικὼς,
δαιτρεύει στομάτεσσιν ἐτώσια δηριόωντα,
καί μιν ἑλισσόμενον περὶ γούνασιν ἀμφί τε δειρὴν
ἐμμενέως δάπτει· κατὰ δὲ χθονὶ πολλὰ κέχυνται
λείψανα παιφάσσοντα καὶ ἀσπαίροντα φόνοισι.
Καί τε τάχ' οἰκτείρειας ἀπηνέα περ μάλ' ἐόντα
ὠμηστῆρα ῥιφέντα πολυτμήτοισι φόνοισι.
Ἱπποβότου Λιβύης δ' ἐπὶ τέρμασι πουλὺς ἁλᾶται
ἄσπετος οὐλόμενος στρατὸς αἰόλος ἑρπηστήρων·
ἀλλ' ὅτε δὴ κλινθεὶς ἔλαφος ψαμαθώδεσιν ἄκραις
οἷος ἔην, τῷδ' αὐτίκ' ἐπέσσυτο πάντοθεν ἐχθρὸς

---

234 ὀφίων <τ'> M — 235 ἑρπυστῆρα IKM : ἑρπιστῆρα DE : ἑρπιστῆρα ˏη super ι scriptum est) F — 236 ὅτ' ἴδῃ : ὅτε δὴ ABC$_1$DEFGHIM || δολιχῇσιν BCDEFIK — 237 ὀφιόνιον C$_2$ in marg. K — 239 λάβροισιν Schneider^1 || δῆριν : δείρην BEK : δειρήν C$_1$DF — 242 γὰρ : δ' ἂρ Guietus ap. Schneider^1 || θ' : δ' (δ' super τ' scripto A) ACDEFIK — 243 ὑπέσυρεν (η suprascripto) K : ὑπέσυρεν M : ὑπερῆρεν B : ἐπισέσηρεν I : ἐπισέσηρεν G — 244 πεφρικότας C$_1$DEFHM : πεφριγότας I : πεφρικῶτας ABG || πεφρ. <γὰρ> CDEF || ἐπικρατέει M — 245 πυκνοῖς : πικροῖς BCDEF || ἰοφόνος K — 246 καὶ μειδιόωντι : καταμειδιόωντι Schneider^1 in *animadv.* — 250 παιφάσσοντα d'Arnaud, *Lectiones graecae*, p. 212 (Cf. Opp., *Hal.*, II, 288) : παιφύσσοντα A$_1$: ποιφάσσοντα C$_1$DEF : ποιφύσσοντα A$_2$BC$_2$GHIKM || καὶ... φόνοισι : πολυτμήτοισι φόβοισι K — vv. 251-252 om. I — 251 τε : κε CDEFK — 253 πολὺς CDEFH IM — 254 οὐλομένων Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 329, sed cf. II, 269-270, etc. || ἑρπυστήρων K : ἑρπιστήρων D — 256 ἔῃ IK : ἔῃ (su-

ἐσμὸς ἀπειρεσίων ὀφίων στυγεραί τε φάλαγγες
ἰοτόκοι· ῥινῷ δὲ πικροὺς ἐνέρεισαν ὀδόντας,
ἄψεα πάντ' ἐλάφοιο περισταδὸν ἀμφιχυθέντες·
οἱ μὲν γάρ τ', ἐφύπερθεν ἐπιτρέψαντε κάρηνον,
ὀφρύας ἠδὲ μέτωπον ἐνιπρίουσι γένυσσιν,
οἱ δ' ἄρα λεπταλέην δειρὴν καὶ στέρνον ἔνερθε
καὶ λαγόνας νηδύν τε διὰ στόμα δαιτρεύουσιν·
ἄλλοι δ' αὖθ' ἑκάτερθε περὶ πλευρῇσιν ἔχονται·
μηροὺς δ' αὖθ' ἕτεροι καὶ νῶτον ὕπερθε νέμονται·
ἄλλος δ' ἄλλοθεν ἐχθρὰ πεπαρμένος ἠώρηται.
Αὐτὰρ ὁ παντοίῃσι περιπληθὴς ὀδύνῃσι
πρῶτα μὲν ἐκφυγέειν ἐθέλει κραπνοῖσι πόδεσσιν,
ἀλλ' οὐ κάρτος ἔχει· τοῖός μιν ἀθέσφατος ὄχλος
αἰόλος ἀμφιέπει δυσπαίπαλος ἑρπηστήρων.
Δὴ τότε δὴ βαρύθων ἔστη κρατερῆς ὑπ' ἀνάγκης,
δάπτει δὲ στομάτεσσιν ἀπείριτα δῄϊα φῦλα
βεβρυχὼς ὀδύνῃσιν· ἐπιστροφάδην δ' ἑκάτερθεν
οὐδὲν ἀλευόμενον γένος ἑρπετόεν κεραΐζει.
Κεῖνοι δ' οὐ μεθιᾶσι, διολλύμενοι δὲ μένουσιν,
ἄτροπον ἦτορ ἔχοντες ἀναιδείῃσι νόοιο·
καὶ τοὺς μὲν γενύεσσι δατέσχισε, τοὺς δὲ πόδεσσι
καὶ χηλῇσιν ὄλεσσε, ῥέει δ' ἐπὶ γαῖαν ἀτέρμων
ἰχὼρ αἱματόεις ὀφίων ἄπο· γυῖα δὲ θηρῶν

---

per εἴη scriptum) C : εἴη DEF — vv. 257-312 om. A_1, restit. A_5 — 260 ἐπιτρέψαντα M : ἐπιστρέψαντε C_2GK_2 : ἐπιστρέψαντι K_1 : ἐπιθρέψαντε Rittershusius : ἐπιστέψαντε Brunck ap. Schneider[1] in *animadv.* et in mss Paris. S. gr. 383, f. 67, 392, f. 29 : ἐπιτρίψαντε B. de Ballu in not. : ἐπιθρέξαντε Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 329 || κάρηνα A_5IM — 261 ὀφρῦς C_1 || ἐπιπρίουσι Brunck in mss. Paris. S. gr. 392, f. 29 — v. 263 et v. 266 « supposititios » esse censuit versumque 265 versui 264 anteposuit Brunck in mss. Paris. S. gr. 383, f. 39 — ἑκάτερθε 264-αὖθ' 265 om. M — 265 νῶτον : νύστιν K || ὕπερθε νέμονται : ὑπερνεμέθονται CDEFK — 266 ἐχθρῶς ἀπεπαρμένος M : ἐχθρὸς ἐπάλμενος Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 330 : (ἄλλοθι) χρωτὶ πεπαρμένος G. Hermann, *Opuscula*, t. VIII, p. 45 — 269 ἀλλ'... ἔχει om. M || ἀθέσφατος : ἀάσπετος CDEFK_1 — 270 ἑρπυστήρων IK : ἑρπετοστήρων DEF — 271 βαρύθων ἔστη : θορύβων ἔτη M — 272 γνάμπτει (λ supra γ scriptum est) K — 273 βεβρυχὼς <δ'> BCDEF || δ' om. BCDEFI — 274 ἀλευόμενος B || οὗτον ἀλευόμενος Lehrs in ed., p. I n. 2 — 275 δὲ om. C_1DEF — 276 ἄτρομον BCDEF. Cf. *Paraphr.*, p. 24,6 ἄτρομος || ἀναιδίῃσι

ἄψεά θ' ἡμίβρωτα κατὰ χθονὸς ἀσπαίρουσιν·
ἄλλα δ' ἐνὶ πλευρῇς θλίβει πάλιν ἡμιδάϊκτα·
καὶ φθίμενοι γὰρ ἔχουσιν ἔτι κρατεροῖσιν ὀδοῦσι,
ῥινῷ δ' ἐμπεφυῶτα καρήατα μοῦνα μέμυκεν.
Αὐτὰρ ὁ γινώσκων θεάθεν τόπερ ἔλλαχε δῶρον,
πάντη μαστεύει δνοφερὸν ποταμοῖο ῥέεθρον·
κεῖθεν καρκινάδας δὲ φίλαις γενύεσσι δαμάσσας,
φάρμακον αὐτοδίδακτον ἔχει πολυπήμονος ἄτης·
αἶψα δὲ πικράων μὲν ἐπὶ χθόνα λείψανα θηρῶν
ἐξέπεσεν ῥινοῖο παραὶ πόδας αὐτοκύλιστα,
ὠτειλαὶ δ' ἑκάτερθεν ἐπιμύουσιν ὀδόντων.
Ζώει δ' αὖτ' ἔλαφος δηρὸν χρόνον· ἀτρεκέως δὲ
ἀνθρώπων γενεὴ μιν ἐφήμισε τετρακόρωνον.
Ἄλλους δ' αὖ καλέουσι βροτοὶ πάλιν εὐρυκέρωτας·
πάντ' ἔλαφοι τελέθουσι, φύσιν κεράων δ' ἐφύπερθεν,
οἵην οὔνομα θηρσὶ κατηγορέει, φορέουσι.
Τοὺς δ' ἄρα κικλήσκουσιν ἐνὶ ξυλόχοισιν ἱόρκους·
κἀκείνοις ἐλάφοιο δέμας, ῥινὸν δ' ἐπὶ νώτῳ
στικτὸν ἅπαντα φέρουσι παναίολον, οἷά τε θηρῶν
πορδαλίων σφραγῖδες ἐπὶ χροὶ μαρμαίρουσι.
Βούβαλος αὖτε πέλει μείων δέμας εὐρυκέρωπος,
μείων εὐρυκέρωτος, ἀτὰρ δόρκου μέγ' ἀρείων·

BCM — 281 πλευρῆσι BCDEFK : πλευραῖς Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 330 || βλίβει A_5 : φέρει BCDEF || πάλιν : χόλον Lehrs in ed., p. I n. 3 || ἄλλα δ' ἔτ' ἐν πλευρῆσι πέλει πάλιν... Koechly, *loc. cit.* — 282 γὰρ : δ' ἄρ CDEFK : περ B. de Ballu in not. || ἔτι : ἐπὶ BCDEF — 286 φίλας (αις suprascripto) K : φίλας C_2 || γενύεσσι : γνύοις M — 288 πικράων : φρικαλέων Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 330. Sed cf. III, 440; IV, 234, 352, 378 || ἐπιχθόνια M || θηρῶν : κηρῶν Vir doct. ap. Schneider[1] — 289 παρὰ M — 290 ἐπημύουσι(ν) A_5GHK : ἐπημείουσιν I — 291 δὲ om. G — 292 μιν (μ super τ scriptum est in K) sic C_2K : τις A_5BHM : τιγ' G : <τίς> μιν C_1DEFI — 294 φύσιν sic I (quod scripserant Turnebus, Bodinus, *Oppiani de Venatione... commentarius*, f. 78 v°). Cf. *Paraphr.*, p. 24, 18 κατηγορεῖ δὲ ἡ κλῆσις τὴν φύσιν : φύσις A_5BCDEFGHKM || δ' om. CDEFK — 295 οἵην Turnebus, Bodinus, *loc. cit.* : οἵτ,ν G : οἵη F : οἵη A_5BC_1DE HM : οἵη <δ'> C_2K : οἷα I || τοὔνομα Rittershusius. Sed de articuli ellipsi cf. II, 515, etc. || θηρσὶ <δὲ> M || κατηγορεύει A_5BGH — 297 κακεῖνοι C_1DEF || ἐλάφειον M — 299 πορδαλίων Schneider[1] : παρδαλίων BCDEFGH KM : παρδαλέων A_5I || σφραγίδεσσιν A_5BGHIKM — 300 μείζων δέμας BCDEF : μείων κέρας A_5HMΣ : πολυκέρας (-ὺ- G) GI — 301 αὐτὰρ CDEFHM —

ὄμμασιν αἰγλήεις, ἐρατὸς χρόα, φαιδρὸς ἰδέσθαι·
καὶ κεράων ὀρθοὶ μὲν ἀπὸ κρατὸς πεφύασιν
ἀκρέμονες προτενεῖς, ὑψοῦ δ' αὖθις ποτὶ νῶτον
ἄψορρον νεύουσι παλιγνάμπτοισιν ἀκωκαῖς.
Ἔξοχα δ' αὖ τόδε φῦλον ἐὸν δόμον ἀμφαγαπάζει
ἠθαλέας τ' εὐνὰς φίλιόν τε νάπεσσι μέλαθρον·
εἰ δέ τέ μιν στρεπτῇσι πεδήσαντες βροχίδεσσιν
ἀγρευτῆρες ἄγοιεν ἐπ' ἄλλους αὐτίκα χώρους,
τηλόθι δ' ἐν βήσσῃσιν ἐλεύθερον αὖθι λίποιεν,
ῥεῖα ποτὶ γλυκερὸν δόμον ἦλυθεν, ἦχι ναίεσκεν,
οὐδ' ἔτλη ξεῖνός τις ἐπ' ἀλλοδαποῖσιν ἁλᾶσθαι.
Οὐκ ἄρα τοι μούνοισι φίλη πάτρη μερόπεσσι·
καὶ βαλιῶν δὲ πόθος τις ἐνέστακται φρεσὶ θηρῶν.
Ναὶ μὴν ὠκυτάτων δόρκων ἀρίδηλα γένεθλα
μορφήν τ' ἴδμεν ἅπαντες, ὁμῶς μέγεθός τε καὶ ἀλκήν.
Πέρδικες θοῦροι δὲ πυρώπees, αἰολόδειροι,
δόρκοισιν φιλίην παρὰ τέμπεσιν ἐσπείσαντο·
ἠθαλέοι τε πέλουσι καὶ ἀλλήλοισιν ὅμαυλοι,
εὐνάς τ' ἐγγὺς ἔχουσι, καὶ οὐκ ἀπάνευθε νέμονται.
Ἦ μάλα δὴ μετόπισθεν ἑταιρείης τάχα πικρῆς
καὶ φιλίης ἀπέλαυσαν ἀμειδέος, ὁππότε φῶτες
κερδαλέοι δειλοῖσιν ἐπίφρονα μητίσαντο,
πέρδικας δόρκοισι φίλοις ἀπατήλια θέντες,
ἔμπαλι δ' αὖ δόρκους ἑτάροις ἴσα περδίκεσσιν.
Αἰγῶν δ' αὖτε πέλει προβάτων τε πανόγρια φῦλα

---

302 ἐρατὴς M — 303 ὀρθαὶ Schneider[1] — 304 αὖτις Schneider[1] — 305 πολυγνάμπτοισιν A_5GHIM — 306 τόδε : τόγε A_5GHIM — 307 νάπεσσι : νάπησι K : νάπασσι B : νάπαισι Turnebus — 309 χώρας A_5 : χώρες I — 311 ποτὲ K || ἦχι νέεσκεν A_5BGH : ἦχι νέδοχεν M : ἦυτ' ἐπὶ λόχμην K : ἦχι νάεσκεν Turnebus — 312 ἀπ' : ἀν Schneider[1] || ἁλᾶσθαι : γρ. ἐλάασθαι G supra vers. : πάσασθαι A_5IΣ : ἐπάσασθαι G : ἀπτάσασθαι H — 313 desin. A_5, rursus incipit A_1 || οὐκ ἄρα : οὐκ ἀρ H : οὐ γὰρ M || τοι : δὴ Schneider[1] || φίλη μερόπεσσί γε πάτρη K — 314 βαλεῶν Σ : λασίων Vir doct. ap. Schneider[1] — 317 πυρώδεες BC_1DEF — 318 παρὰ : περὶ K || ἐπείσαντο BC_1DEF — 319 ἀλλήλοις συνόμιλοι K — 321 ἑταιρίης ABCDEFG : ἑταιροίης I || τάχα : μάλα K — v. 323 om. A_1GHI, restit. A_2 in marg. || κερδαλέοι : κέρδεα τοῖς Guietus ap. Schneider[1] || μητίσαντο BCDEF — 325 ἔμπαλιν (δ' om.) K || ἑτέροις ABGHKM : ἑταίροις I. Cf. II, 439 εἰναλίους ἑτάρους — 326 ἀγρια

οὐ πολλὸν τούτων ὁίων λασίων τε χιμαιρῶν
μείζονες, ἀλλὰ θέειν κραιπνοὶ σθεναροί τε μάχεσθαι,
στρεπτοῖσιν κεφαλῇφι κορυσσόμενοι κεράεσσι.
Κάρτος δ' αὖτ' ὀίεσσιν ἐν ἀργαλέοισι μετώποις·
πολλάκι δ' ὁρμηθέντες ἐνὶ ξυλόχοισιν ἔθηκαν
καὶ σύας αἰθυκτῆρας ἐπὶ χθονὸς ἀσπαίροντας.
Ἔστι δ' ὅτ' ἀλλήλοισιν ἐναντίον ἀίξαντες
μάρνανται· κρατερὸς δὲ πρὸς αἰθέρα δοῦπος ἱκάνει·
οὐδέ τ' ἀλεύασθαι θέμις ἔπλετο δήϊον αὐτοῖς,
νίκην δ' ἀλλήλοις φορέειν ἀτίναχτος ἀνάγκη
ἠὲ νέκυν κεῖσθαι· τοῖον σφίσι νεῖκος ὄρωρεν.
Αἰγάγροις δέ τίς ἐστι δι' αὐτῶν αὐλὸς ὀδόντων
λεπταλέος πνοιῆς, κεράων μέσον, ἔνθεν ἔπειτα
αὐτὴν ἐς κραδίην καὶ πνεύμονας εὐθὺς ἱκάνει·
εἰ δέ τις αἰγάγρου κηρὸν κέρασιν περιχεύοι,
ζωῆς ἐξέκλεισεν ὁδοὺς πνοιῆς τε διαύλους.
Ἔξοχα δ' αὖ μήτηρ ἀταλοὺς ἔτι νηπιάχοντας
οὓς παῖδας κομέει· γήρᾳ δ' ἔνι μητέρα παῖδες.
Ὡς δὲ βροτοὶ γενέτην πεπεδημένον ἀργαλέοισι
γήραος ἐν δεσμοῖσι, πόδας βαρὺν, ἄψεα ῥικνὸν,
ἀβληχρὸν παλάμας, τρομερὸν δέμας, ὄψιν ἀμαυρὸν,
ἀμφαγαπαζόμενοι περὶ δὴ περὶ πάμπαν ἔχουσι,
τινύμενοι κομιδὴν παιδοτροφίης ἀλεγεινῆς·
ὡς αἰγῶν κοῦροι φιλίους κομέουσι τοκῆας
γηραλέους, ὅτε δεσμὰ πολύστονα γυῖα πεδήσῃ·
βρώμην μέν τ' ὀρέγουσιν ἐΰδροσον ἀνθεμόεσσαν,

φῦλα om. M — 327 πολλὸν (Cf. II, 552) : πολλων (o suprascripto) D : πολλῶ A_1, *Paraphr.*, p. 25, 6 || τούτων (V. *Paraphr.*, p. 25, 6 τῶν παρ' ἡμῖν τουτωνὶ) : τούτω M : τιθασῶν Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 330 || τε om. HM || χιμάρρων BI — 329 στρεφθοῖσι CDEF — 330 κράτος A || αὖτ' : οὖν τ' M — 332 αἰθυντῆρας GH : ἰθυντῆρας M — 339 λεπταλέος Schneider^2 : λεπταλέης mss || κεράτων M || μέσον : μέρος de Pauw, *Horapollinis hieroglyphica*, p. 384-385 — 340 καρδίην AI || πνεύμονος ABHM : πνεύμονα GI || εὐθὺς om. I : ἰθὺς K — 341 αἰγάγροις C || περιχεύοι Turnebus. Cf. enim II, 308-312 ; IV, 362-363 : περιχεύει (-ιλεύ- G) mss : περιχεύῃ Schneider^1 — 342 διαύλους : διδύμους CDEF — 343 ἁπαλοὺς *Paraphr.*, p. 25, 19 — 346 ἐν om. K — 347 ἀμβληχρὸν M || ἀμαυρὸν : ἀμυδρὸν CDEFK — 349 τιννύμενοι BCDEFGIK — 350 φιλίους Schneider^1 : φίλους ABCDEFGHIM : <γε> φίλους K — 351 πεδήσει AGHIM — 352 εὔδρομον K —

δρεψάμενοι στομάτεσσι· ποτὸν δ' ἄρα χείλεσιν ἄκροις
ἐκ ποταμοῖο φέρουσιν ἀφυσσάμενοι μέλαν ὕδωρ·
γλώσσῃ δ' ἀμφιέποντες ὅλον χρόα φαιδρύνουσιν.
Εἰ δέ νύ τοι βροχίδεσσι μόνην γενέτειραν ἀείρας,
αὐτίκα καὶ παλάμῃφιν ἔλοις νεοθηλέας ἀμνούς·
τὴν μὲν γὰρ δοκέοις παῖδας μύθοισι δίεσθαι,
λισσομένην τοίοισιν ἀπόπροθε μηκηθμοῖσι·
Φεύγετέ μοι, φίλα τέκνα, δυσάντεας ἀγρευτῆρας,
μή με λυγρὴν δμηθέντες ἀμήτορα μητέρα θῆτε.
Τοῖα φάμεν δοκέοις· τοὺς δ' ἑσταότας προπάροιθε
πρῶτα μὲν ἀείδειν στονόεν μέλος ἀμφὶ τεκούσῃ,
αὐτὰρ ἔπειτ' ἐνέπειν φαίης μεροπήϊον ἠχήν,
ῥηξαμένους βληχὴν, στομάτων τ' ἄπο τοῖον ἀϋτεῖν,
φθεγγομένοις ἰκέλους καὶ λισσομένοισιν ὁμοίους·
Πρός σε Διὸς λιτόμεσθα, πρὸς αὐτῆς Ἰοχεαίρης,
λύεο μητέρα μοι φιλίην, τὰ δ' ἄποινα δέδεξο,
ὅσσα φέρειν δυνάμεσθα λυγροὶ περὶ μητέρι δειλῇ.
Ἡμέας αἰνομόρους. Γνάμψον τεὸν ἄγριον ἦτορ
αἰδόμενος μακάρων τε θέμιν γενέταό τε γῆρας,
εἴ ῥά νύ τοι γενέτης λιπαρὸν κατὰ δῶμα λέλειπται.
Τοῖά τις ἂν δόξειε λιταζομένους ἀγορεύειν.
Ἀλλ' ὅτε τευ κραδίην παναμείλιχον ἀθρήσωσιν
(αἰδὼς ὧ πόσση, πόσσος πόθος ἐστὶ τοκήων)
αὐτόδετοι βαίνουσι καὶ αὐτόμολοι περόωσι.
Εἰσὶ δ' ὅϊς ξανθοὶ πυμάτης ἐνὶ τέρμασι Κρήτης,

---

354 ποταμοῦ φορέουσιν (φερέουσιν F) BCDEF || ἀφυσσόμενοι AGHM : ἀφυσσόμεναι Σ — **357** ἔλης K || ἀμνὰς M — **358** δοκέεις (οις suprascripto) G : δοκέεις BCDEFHKM — **359** ἀπόπρωθι CDEFK || μυκηθμοῖσι(ν) AHIKM — **362** δοκέεις BCDEFKM — **363** πρῶτον A || ἀείδειν : βάζοντας CDEF — **365** ἀϋτὴν DEF : αὐτὴν C : ἀυτμην K — **366** φθεγγομένους A_1 || ὁμοίαις M — **367** σε Rittershusius : τε mss || λιτώμεσθα C : λιττομεθα G : λιτόμεθα H : λισόμεθα M || αὐτῆς <τ'> K — **368** λύσεο BCDEFK || φίλην BCDEFI || μητέρα μοι λύσαιο φίλην Brunck ap. Schneider[1] : λῦσαι μητέρα μοι φιλίην Miller, *Oppian's Gedicht von der Jagd*, II, p. 49 — **369** δυνάμεθα HIM || λυγρῇ (οι suprascripto) M : λυγρῇ I : λυγρῆ AC_2GH : λυγρὴ C_1 || δειλοὶ C_2 — vv. **370** — **400** om. A_1, restit. A_2 — **372** εἴ sic F (quod scripserat Rittershusius) : ἤ (εἰ suprascripto) D : ἤ reliqui mss || λιπαρῶν (κατὰ om.) M — **373** τιν M || ἂν om. K — **374** τευ Rittershusius : τεῦ BC_1DEFGI : τοῦ Σ : σεῦ A_2C_2H KM — **376** βαίνωσι K — **377** ξανθαὶ Schneider[1] || ἐνὶ : περὶ K — **378** γαίῃ :

ἐν χθαμαλῇ γαίῃ Γορτυνίδι, τετρακέρωτες·
λάχνῃ πορφυρόεσσα δ' ἐπὶ χροὸς ἐστεφάνωται
πολλή τ' οὐκ ἀπαλή τε· τάχ' αἰγὸς ἂν ἀντιφερίζοι
τρηχυτάτῃ χαίτῃ δυσπαίπαλος, οὐκ ὀΐεσσι.
Τοίην που καὶ σοῦβος ἔχει ξανθωπὸν ἰδέσθαι
χροιὴν μαρμαίρων, ἀτὰρ οὐκ ἔτι λαχνήεσσαν,
οὐδὲ πάλιν πισύρεσσιν ἀρηραμένην κεράεσσιν,
ἀλλὰ δυσὶ κρατεροῖς ὑπὲρ εὐρυτάτοιο μετώπου.
Ἀμφίβιος καὶ σοῦβος, ἐπεὶ κἀκεῖνος ὀδεύει
. . . . . .
ὁππότε δ' ἂρ ποτὶ βυσσὸν ἴῃ θοὰ κύματα τέμνων,
δὴ τότε πουλὺς ὅμιλος ὁμαρτῇ ποντοπορεύων
ἰχθυόεις ἕπεται, κατὰ δ' ἄψεα λιχμάζονται,
τερπόμενοι κερόεντι φίλῳ, τερενόχροϊ σούβῳ.
Ἔξοχα δ' αὖ φάγροι τε καὶ οὐτιδανοὶ μελάνουροι
καὶ ῥαφίδες τρίγλαι τε καὶ ἀστακὸς ἀμφὶς ἕπονται.
Θάμβος ἔφυ τόδε, θάμβος ἀθέσφατον, ὁππότε θῆρας
ἀλλοδαποὶ τείρουσι πόθοι καὶ ὑπείροχα φίλτρα.
Οὐ γὰρ ἐπ' ἀλλήλοισι μόνον φιλότητος ἴσης
θεσμὸν ἀναγκαῖον δῶκεν θεὸς, οὐδ' ὅσον αὐτῶν
φῦλον ἀναλδήσκειν αἰειγενέος βιότοιο.

τ' αἴη A_5GHIM — 380 οὐκ ἄπλή C_1 : οὐκ ἀταλή GKM : οὐ καλή A_5HΙΣ || τε om. K || τάχ' αἰγὸς ἂν ἀντιφερίζοι Turnebus, Bodinus, *Oppiani de venatione.... commentarius*, f. 80 : τάχ' ἂν αἰγὸς (αἰνὸς B) ἀντιφερίζοι (-ζει [οι suprascripto] I) $A_5BC_1DEFGHIM$: τάχ' ἂν αἰγὸς δ' ἀντιφερίζοι C_2K : τάχ' αἰγὸς ἂν ἰσοφαρίζοι Schneider[2] : τάχ' αἴγεσιν ἰσοφαρίζοι W. Headlam, *The Journal of Philology*, XXIII, 1895, p. 271 — 381 τρηχύτατον H || ὀίεσσι GI — 382 που : τοῦ A_5 — 383 χροιὴν : κραίρην Guietus ap. Schneider[1] — 385 δυσὶ : δισσοῖς K — 386 κἀκεῖνος : καὶ πόντον Vir doct. ap. Schneider[1] || ὀδεύει : ὁδρεύει vel ὑδεύει Guietus, *ibid.* || lacunam esse censuit Schneider[2] in *annot.* V. *Paraphr.*, p. 26, 10 ἀμφίβιος δὲ οὗτος, θαλαττοπορῶν ὁμοῦ καὶ ποτὶ τρίβων τὸ ἔδαφος — 387 rursus incipit L. Cf. p. 15 || δ' ἂρ Guietus ap. Schneider[1] : γὰρ mss || ποτὶ : περὶ CDEF || βυθὸν M : βῆσ(σ)αν A_5BDEFH : βῦσσαν I : βύσσαν G — 388 πολὺς CDEFM || ὁμαρτεῖ K — 390 σούβλω A_5 — 392 τρίγλαι τε καὶ Turnebus. Cf. enim Marcell. Sidet. 20, 22, 26, etc. : καὶ τρίγλαι (τρίλλαι B) καὶ mss. Cf. *Paraphr.*, p. 26, 14 || ἀστακοὶ CDEF. V. autem *Paraphr.*, *loc. cit.*, ἀστακὸς — 394 τείρωσι CDEF || ὑπείροχα (ἔξοχα suprascripto) G : ἔξοχα A_5HMΣ — 396 θεσμὸν <δ'> H — 397 ἀναλδήσκειν Turnebus, Bodinus, *Oppiani de venatione.... commentarius*,

Θαῦμα μὲν ἦν κἀκεῖνο δαμήμεναι ἄφρονα φῦλα
ἄμμασιν ἱμερτοῖς, καὶ ὁμόγνια φίλτρα δαῆναι,
καὶ πόθον οὐ νοέοντα ἐν ἀλλήλοισι κεράσσαι,
οἷά περ ἀνθρώποισιν ἐπιφροσύνη τε νόος τε
ὀφθαλμοὺς ἐπέτασσεν, ἔρον θ' ὑπεδέξατο θυμῷ·
ἀλλὰ καὶ ὀθνείοις ἐπεμήνατο ὑψόθι φίλτροις.
Οἷος μὲν πόθος ἐστὶν ἀριζήλοις ἐλάφοισιν
ἀτταγέων· ὅσσος δὲ τανυκραίροις ἐπὶ δόρκοις
περδίκων· πῶς δ' αὖτε θοοῖς χαίρουσιν ἐφ' ἵπποις
ὠτίδες, αἵσι τέθηλεν ἀεὶ λασιώτατον οὖας·
ψιττακὸς αὖτε λύκος τε σὺν ἀλλήλοισι νέμονται·
αἰεὶ γὰρ ποθέουσι λύκοι ποεσίχροον ὄρνιν.
Ὄβριμ' Ἔρως, πόσος ἐσσὶ, πόση σέθεν ἄπλετος ἀλκὴ,
πόσσα νοεῖς, πόσα κοιρανέεις, πόσα, δαῖμον, ἀθύρῃ.
Γαῖα πέλει σταθερὴ, βελέεσσι δὲ σοῖσι δονεῖται·
ἄστατος ἔπλετο πόντος, ἀτὰρ σύγε καὶ τὸν ἔπηξας·
ἦλυθες εἰς αἰθῆρ', οἶδεν δέ σε μακρὸς Ὄλυμπος·
δειμαίνει δέ σε πάντα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
γαίης ὅσσα τ' ἔνερθε καὶ ἔθνεα λυγρὰ καμόντων,

---

f. 80 : ἀμαλδήσκειν C_2IKL : ἀμαλδίσκειν A_5BC_1DEFGHM — 398 θαῦμα (μὲν om.) ἦν I : θαψάμενον CDEF : θαῦμα μὲν οὖν Turnebus in var., Bodinus, *op. cit.*, f. 80 v° || ἄφρονα : ἄγρια K — 400 νοέοντας KL : νόος ἐστὶν CDEF || νοέοντα σὺν ἀλ. G. Hermannus, *Orphica*, p. 739 : νοέοντ' εἰν ἀλ. Preuss, *Zum Sprachgebrauch der Oppiane*, II, p. 18. Cf. vero IV, 353 — v. 401 desin. A_5, rursus incipit A_1 || νόος τε : γένος τε A_2 in litura M : γένει τε A_1GH : γέννηται I — 402 θ' : δ' KL || ὑπεδείξατο Risius ap. Hummel, *Neue Bibliotheck von seltenen... Büchern*, p. 307 — 403 ἀλλὰ : ἠδὲ K : ἠδὲ I : ᾗδε A_1 : εἰ δὲ A_2 in litura BCDEFH : οἱ δὲ LM || ἐπενείματο CDEF || ὑψόθι : πολλάκι Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 383, f. 41 v° : νειόθι G. Hermannus, *Orphica*, p. 739 : βυσσόθι Lehrs, *Questiones epicae*, p. 309. Cf. vero I, 252 — 405 ὅσσοι A_1BH || δὲ : τε I, quod scripserat Schneider[1] — 406 δ' om. AI — 407 αἷς CDEF || τέθηλαν D : τέθηκαν C || οὖδας M — 409 ποεσσίχροον CDEFI : ποεσσίαχροον G : περσίχροον K — 410 ὄμβριμ' BIM || ἄπλετος : ἔπλετο CKL. Cf. *Paraphr.*, p. 26, 27 ἧς ἄρα τὴν φύσιν, ὦ ἔρως, παγκρατὴς... — 411 ἀθύρῃ scripsi : ἀθύρῃ CDEFGHM : ἀθύρει A_1 : ἀθύρεις A_2BIKL — 414 ἦλυθες εἰς (ἐς I) αἰθῆρ'. οἶδε(ν) δέ (δέ om. F) σε (σε δὲ I) sic ABCDEFGHI : ἦλυθες αἰθῆρ' οἶδε δέ σε M : ἦλυθες αἰθέρα εἶδε σε L : ἦλθες ἐς αἰθέρα ἔδδεισεν (αἰθέρ' ἔδδεισεν C_3 in marg.) δέ σε C_2K : ἦλυθες εἰς αἴθρην· οἶδεν δέ σε d'Orville, *Chariton*, p. 745 : ἦλθες ἐς αἰθέρα δῖον· ἔδεισε δὲ Gerhardius, *Lectiones Apollonianae*, p. 216 : ἦλθες ἐς αἰθέρ', ἔδεισε δ' ὅτ' οἶδε σε

οἳ Λήθης μὲν ἄφυσσαν ὑπὸ στόμα νηπαθὲς ὕδωρ
καὶ φύγον ἄλγεα πάντα, σὲ δ' εἰσέτι πεφρίκασι.
Σῷ δὲ μένει καὶ τῆλε περᾷς, ὅσον οὔποτε λεύσσει
ἠέλιος φαέθων· σῷ δ' αὖ πυρὶ καὶ φάος εἶκει
δειμαῖνον, καὶ Ζηνὸς ὁμῶς εἴκουσι κεραυνοί.
Τοίους, ἄγριε δαῖμον, ἔχεις πυρόεντας ὀΐστοὺς,
πευκεδανοὺς, μαλεροὺς, φθισίφρονας, οἰστρήεντας,
τηκεδόνα πνείοντας, ἀναλθέας, οἷσι καὶ αὐτοὺς
θῆρας ἀνεπτοίησας ἐπ' ἀζεύκτοισι πόθοισι.
Θάμβος, ὅταν κερόεσσαν ἀχαιΐνέην πτερόεντες
ἀτταγέες νώτοισιν ἐπὶ στικτοῖσι θορόντες
ἢ δόρκοις πέρδικες ἐπὶ πτερὰ πυκνὰ βαλόντες
ἱδρῶ ἀποψύχωσι, παρηγορέωσί τε θυμὸν
καύματος ἀζαλέοιο, λατυσσόμενοι πτερύγεσσιν·
ἢ ὁπότε προπάροιθεν ἴῃ καναχήποδος ἵππου
ὠτὶς ὀλισθαίνουσα δι' ἠέρος ἰμερόεσσα,
σαργοὶ δ' αἰπολίοισιν ἐπέχραον· ἀμφὶ δὲ σούβῳ
φῦλον ἅπαν νεπόδων τὸ πολύπλανον ἐπτοίηται,

Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 331 — 416 καμνόντων GHI — 417 νηπενθὲς A_1GHLM : νηπερθὲς I : νηπεθὲς K || ὕδωρ om. GHM — 418 <ὕδωρ> καὶ GHM — 419 σὸν M || τῆλε (δ suprascripto) G : τῆδε A_1 || περᾷς <δὲ> CDEF || λεύσει ABCDEFGHIKM — 420 καὶ om. CDEF : τοῦ G. Hermann, *Opuscula*, t. VIII, p. 45 — 421 δειμαῖνον : παμφαῖνον Koechly, *Conjectanea in Apoll. et Opp.*,p. 331 — 423 φθεισίφρονας DEF : φθησίφρονας C_1 : φθισήνορας C_2 in marg. L : φθισίνορας K — 424 τηκεδόνος A_2 — 425 ἀνεποίησας A_1 — vv. 426-444 supposititios et e superioribus confictos esse censuit Brunck in ms. Paris. S. gr. 383, f. 42 — 426 ὅτ' ἀν' Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 81 || ἀχαιινεαν K_1 : ἀχαινέην C_1 : ἀχαιναίην I : ἀχαϊνέην Schneider[1] — 427 θορῶνται Brodaeus, *Annotationes*, p. 79 || post v. 427 unus aut plures versus intercidisse Koechly videbantur (*Conjectanea in Apoll. et Opp.*, p. 331), nisi quis mallet ποθέοντες pro πτερόεντες, ὄρωνται pro θορόντες conjicere — 429 ἀποψύχουσι KLM || παρηγορέουσί CKLM : παρηγορεύουσι D — 430 ἀργαλέοιο DI || λατυσσόμενοι sic A_2 in rasura : λατυσσομένοις L (quod conjecerat d'Orville, *Miscellaneae observationes*, 1733, II, p. 361 not.) : δατυσσόμενοι G : δ' ἀτυσσόμενοι I : + ατυσσόμενοι A_1 : δατυσσομένοις K : διατυσσόμενοι HM : δατιζομένοις BC_1DE : δατιζομένοισι F : ἀτυζομένοις C_2 : δατιζομένης Turnebus : δατιζομέναις Bodinus, *Oppiani de Venatione... commentarius*, f. 81 : δαϊζομένης Wassius, *Miscellaneae observationes*, 1733, II, p. 361 — 433 ἐπέχραοι A_1H : ἐπέχρα G —

ἔσπονται δ' ἅμα πάντες, ὅτ' ἄγρια κύματα τέμνει,
στείνονται δ' ἑκάτερθε γεγηθότες, ἀμφὶ δὲ πόντος
ἀφριάᾳ λευκῇσι τινασσόμενος πτερύγεσσιν·
αὐτὰρ ὅγ' οὐκ ἀλέγων ξείνης φιλίης πανάθεσμος
εἰναλίους ἑτάρους δάπτει στομάτεσσι δαφοινοῖς
δαινύμενος· τοὶ δ' αἶσαν ἐν ὀφθαλμοῖς ὁράωντες,
οὐδ' ὧς ἐχθαίρουσι καὶ οὐ λείπουσι φονῆα.
Σοῦβε τάλαν, κακοεργὲ καὶ αὐτῷ σοὶ μετόπισθε
πόντιον ἀγρευτῆρες ἐπαρτύνουσιν ὄλεθρον
καὶ δολερῷ περ ἐόντι καὶ ἰχθυφόνῳ τελέθοντι.
Ἔστι δέ τις δρυμοῖσι παρέστιος ὀξύκερως θὴρ,
ἀγριόθυμος ὄρυξ, κρυερὸς θήρεσσι μάλιστα·
τοῦ δ' ἦτοι χροιὴ μὲν ἅτ' εἰαρινοῖο γάλακτος,
μούναις ἀμφὶ πρόσωπα μελαινομένῃσι παρειαῖς·
διπλὰ δέ οἱ μετόπισθε μετάφρενα πίονα δημῷ·
ὀξεῖαι κεράων δὲ μετήορoι ἀντέλλουσιν
αἰχμαὶ πευκεδαναὶ, μελανόχροον εἶδος ἔχουσαι,
καὶ χαλκοῦ θηκτοῖο σιδήρου τε κρυεροῖο
πέτρου τ' ὀκριόεντος ἀρειότεραι πεφύασιν·
ἰοφόρον κείνοις δὲ φύσιν κεράεσσι λέγουσι.
Θυμὸς δ' αὖτ' ὀρύγεσσιν ὑπερφίαλος καὶ ἀπηνής·
οὔτε γὰρ εὐρίνοιο κυνὸς τρομέουσιν ὕλαγμα,
οὐ συὸς ἀγραύλοιο παρὰ σκοπέλοισι φρύαγμα,
οὐδὲ μὲν οὐ ταύρου κρατερὸν μύκημα φέβονται,
πορδαλίων δ' οὐ γῆρυν ἀμειδέα πεφρίκασιν,
οὐδ' αὐτοῦ φεύγουσι μέγα βρύχημα λέοντος,
οὐδὲ βροτῶν ἀλέγουσιν ἀναιδείῃσι νόοιο·
πολλάκι δ' ἐν κνημοῖσιν ἀπέφθιτο καρτερὸς ἀνὴρ

---

435 τέμνει : τείνει ABCEGHI : στείβει DF — 436 στείχονται BCEF || δ' : θ' Schneider[1] — 437 ἀφριάει λευκοῖσι K — 440 ὀφθαλμοῖσιν ὁρῶντες BC_1DEF — 441 λυποῦσι Brodaeus, *Annotationes*, p. 79 — 443 πόντιοι Schneider[2] || ἐπατρύνουσιν M : ἐπαρτυνέουσιν CDEFL — vv. 445-470 om. A_1, restit. A_5 — 448 μούνοις A_5H || μελαινομενη σοι M : μελαινομένοισι A_5H : μελαινομένκισι (η ταῖς supra αισι scriptum est) G — 449 μετάφρενι M || πίονι HKLM — 450 μετήορον CDEFKL — 451 εἶδος : δέμας CDEF — 453 ὀκρυόεντος BCDEFIKM || ἀρειότεροι KL : ἀφειότεραι B — 454 ἰοφόροι A_5BCDEFHL || κείνοις : κενεοῖς A_5BGHI[2] : κενεὴν CDEF — 459 παρδαλίων M || δ' om. K || εὐμειδέα M — 461 ἀναιδίῃσι A_5CH : ἀνεδίῃσι (αι suprascripto) G — 462 κρημνοῖσιν CDFGM : κρημοῖσιν BE || κρατερὸς (αρ suprascripto) C : κρατερὸς HILM : κρατ (ὸς supra τ scrip-

θηρητὴρ ὀρύγεσσι δαφοινοῖς ἀντιβολήσας.
Ὁππότε δ' ἀθρήσειεν ὄρυξ κρατερόφρονα θῆρα,
ἢ σῦν χαυλιόδοντ' ἢ καρχαρόδοντα λέοντα
ἢ κρυερῶν ἄρκτων ὁλοὸν θράσος, αὐτίχ' ἄρ' αἴῃ
νευστάζει, κεφαλήν τε μέτωπά τε πάμπαν ἐρείδει
τεινάμενος, πήξας τε παρὰ χθονὶ πικρὰ βέλεμνα
ἐσσύμενον μίμνει· τὸν δ' ὤλεσε γαστρὸς ἐρωή.
Δόχμια γὰρ κλίνας βαιὸν κερόεντα μέτωπα,
τεύχεσιν ὀξυτέροις δεδοκημένος ἔμπεσε θηρί·
αὐτὰρ ὅγ' οὐκ ἀλέγει, κατὰ δ' ἄσχετον ἰθὺς ὀρούει,
ὀξέσι πεφρικὼς συνερειδόμενος σκολόπεσσιν.
Ὡς δ' ὅτ' ἐνὶ ξυλόχοισιν ἐπεσσυμένοιο λέοντος,
Ἀρτέμιδος δώροισι κεκασμένος ἄλκιμος ἀνήρ,
αἰχμὴν ἀστράπτουσαν ἔχων κρατερῇς παλάμῃσιν,
εὖ διαβὰς μίμνῃ, τὸν δ' ἄγρια θυμαίνοντα
δέξηται προβλῆτα φέρων ἀμφήκεα χαλκόν·
ὣς ὄρυγες μίμνουσιν ἐπεσσυμένους τότε θῆρας,
αὐτοφόνους σφετέρῃσιν ἀτασθαλίῃσι δαμέντας·
ῥεῖα γὰρ ἐν στέρνοισιν ὀλισθαίνουσιν ἀκωκαί·

---

tum est) A_5 — **463** θηρατὴρ M || δαφοινέσι K — **464** καρτερόφρονα CG — **466** αὐτίχ' ἄρ' αἴῃ Turnebus in var., Bodinus, *Oppiani de venatione... commentarius*, f. 81 v° : αὐτικ' ἀραιὴν I : αὐτίχ' ἀραιὴν (ἀρ- B) A_5BGH : αὐτίκα γαίῃ CDEFKLM — **467** νευστάζων M, quod scripserat Guietus ap. Schneider[1] — **468** τεινάμενος πείξασθαι περὶ χθονὶ M : ἔντεα τεινάμενός τε περὶ χθονὶ K : τεινάμενός τ' ἔνθεα περὶ χθονὶ L || πήξας : κλίνας Brunck in ms. Paris. S. gr. 383, f. 42 v° — **469** μίμνῃ Bodinus, *loc. cit.* || γαστρὸς ἐρωὴ : πρῶτος ἐναίρων ABHI : πρῶτος ἀναίρων GM : κρατὸς ἐρωῇ Risius ap. Hummel, ***Neue Bibliotheck von seltenen... Büchern***, p. 308, Bochartus, *Hierozoïcon*, I, p. 968 — vv. **470-473** « additicios » esse censuit Brunck in ms. Paris. S. gr. 383, f. 43 — **470** μέτωπον (α suprascripto) H — **471** desin. A_5, rursus incipit A_1 — **472** κατά γ' I : κατ' ἀγ' A || ἔσχατον K || εὐθὺς CDE — **473** πεφριγὼς συνερειδόμενος A_1 : πεφριγκὼς συνερειδόμενος B : πεφρικόσσιν ἐρειδόμενος KL : πεφρικῶσιν ἐρειδόμενος Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 383, f. 43 || σκοπέλοισιν A_1BCDEFGHIM : στονύχεσσιν G. Hermann, *Opuscula*, t. VIII, p. 45. De σκολόπεσσιν cf. Opp. *Hal.* II, 379 || v. **473** ante v. 472 posuit Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 332 — **477** διαβὰς : δια C_1DEFI || μίμνῃ Turnebus : μίμνει mss || ἄγριον M — **478** χαλκόν : θυμὸν C — Post v. **481** lacunam esse plurium versuum censuit Koechly, *loc. cit.*

πολλὸν δ' αἷμα κελαινὸν ἀπ' ὠτειλῶν ἑκάτερθεν
ἐκχύμενον γλώσσῃσιν ἐὸν τάχα λιχμάζουσιν·
οὐδὲ μὲν ἐκφυγέειν οὐδ' ἰεμένοισι πάρεστιν·
ἀλλήλους δ' ὀλέκουσιν ἀμοιβαίοισι φόνοισι.
Καί κέ τις ἀγρονόμων ἢ βουκόλος ἤ τις ἀροτρεὺς
ἀμφιδύμοις νεκύεσσι παραὶ ποσὶν ἀντιβολήσας,
ἄγρην εὐάντητον ἔχοι μεγαθαμβέϊ θυμῷ.
Ἐξείης ἐνὶ θηρσὶ κερατοφόροισι γένεθλα
ἀείδειν ἐπέοικεν ἀπειρεσίων ἐλεφάντων.
Κεῖνα γὰρ ἐν γενύεσσιν ὑπέρβια τεύχεα δοιὰ,
εἴκελα χαυλιόδουσιν ἐπ' οὐρανὸν ἀντέλλοντα,
ἄλλοι μὲν πλήθους ὀλοοὺς ἐνέπουσιν ὀδόντας
πλαζόμενοι, νῶϊν δὲ κεράατα μυθήσασθαι
εὔαδεν· ὧδε γὰρ ἄμμι φύσις κεράων ἀγορεύει.
Σήματα δ' οὐκ ἀίδηλα διακριδὰ τεκμήρασθαι·
θηρσὶ γὰρ ἐκφύσιες γενύων ἀπὸ τῶν ἐφύπερθεν
ὅσσαι μὲν κερόεσσαι ἀνωφερὲς ἀίσσουσιν·
εἰ δὲ κάτω νεύοιεν, ἀτεχνῶς εἰσιν ὀδόντες.
Κείνοισιν δὲ διπλοῖς ἐλεφαντείοις κεράεσσι
ῥίζαι μὲν πρώτιστον ἀπὸ κρατὸς πεφύασιν
ἐκ μεγάλου μεγάλαι, φηγῶν ἅτε· νέρθε δ' ἔπειτα
κρυπτόμεναι ῥινοῖσιν ὁμιλοῦσαι κροτάφοισιν
ἐς γένυν ὠθεῦνται· γενύων δ' ἀπογυμνωθεῖσαι
ψευδέα τοῖς πολλοῖσι δόκησιν ὅπασσαν ὀδόντων.
Ναὶ μὴν ἄλλο βροτοῖσιν ἀριφραδὲς ἔπλετο σῆμα·
πάντες γὰρ θήρεσσιν ἀκαμπέες εἰσὶν ὀδόντες,
οὐδὲ τέχναις εἴκουσιν, ἀμείλικτοι δὲ μένουσι·
τοὺς σοφίῃ τεῦξαι κεραοξόος ἦν ἐθέλῃσιν

— 482 δ' om. CDEF — 483 λιχμάζουσιν AGHI — 488 ἔχει ACDEFGHIKLM — 489 ἐξείης <δ'> C_2K — 491 κείνοις GI — 492 ἴκελα HKLM : ἴκελαι G || ἐπ' : ἐς CDEF — 493 πλήθους : πείθους GI || ἐνέπουσιν (cf. *Paraphr.*, p. 27, 21 ὑπέλαβον καὶ εἶπον) : ἐνέπειν περ GI : ἐνέτλησαν M : ἐνέπλησαν C_2 in marg. KL : ἐνέπρισαν BCDEF : ἐνέπρισεν H || ὀδόντων M — 495 ἄμμι : ἄμφι H — 496 ἀρίδηλά BC_1DEFHI — 497 γὰρ : καὶ H || ἀπ' ὤτων ἐφύπερθεν A : ἀπὸ ὠτὸς ὕπερθεν C_2 in marg. — 498 κερόεσσαι Turnebus in var. : κεράεσσιν mss || τίθημι ταύτας ἐν τοῖς κεράεσσιν A_2 in marg. K_2 in marg. — 500 Κείνοις δὴ Guietus ap. Schneider[1] — 501 πρώτιστα L : πρώτισται K — 502 μεγάλου : μεγάλων A_2 in litura M — 504 δ' om. ABCDEFGHI — δόκησιν 505-βροτοῖσιν 506 om. C — 507 πάντες : πᾶσιν K — 509 <καὶ> τοὺς H ||

εὐρέας, ἀντιλέγουσιν ἀπηλεγές· ἦν δὲ βιῶνται,
ἄγνυνται καυληδὸν ἀπειθέες· ἐκ δὲ κεράων
τόξά τε κυκλοτερῆ καὶ μυρία τεύχεται ἔργα·
ὡς δὲ κεράατα κεῖνα, τά τοι καλέουσιν ὀδόντας,
γνάμπτειν εὐρύνειν τ' ἐλεφαντοτόμοις ὑποείκει.
Θηρσὶ δέ τοι μέγεθος μὲν ὅσον μήπω κατὰ γαίης
ἄλλος θὴρ φορέει· φαίης κεν, ἰδὼν ἐλέφαντα,
ἢ κορυφὴν ὄρεος παναπείριτον ἢ νέφος αἰνὸν
χεῖμα φέρον δειλοῖσι βροτῶν ἐπὶ χέρσον ὀδεύειν.
Ἰφθιμον δὲ κάρηνον ἐπ' οὔασι βαιοτέροισι,
κοίλοισι, ξεστοῖς· ἀτὰρ ὀφθαλμοὶ τελέθουσι
μείονες ἢ κατ' ἐκεῖνο δέμας, μεγάλοι περ ἐόντες.
Τῶν δ' ἤτοι μεσσηγὺς ὑπεκπροθέει μεγάλη ῥὶς,
λεπτή τε σκολιή τε, προβοσκίδα τὴν καλέουσι.
Κείνη θηρὸς ἔφυ παλάμη· κείνῃ τὰ θέλουσι
ῥηϊδίως ἔρδουσι. Ποδῶν γε μὲν οὐκ ἴσα μέτρα·
ὀψόθι γάρ οἱ πρόσθε πολὺ πλέον ἀείρονται.
Ῥινὸς δ' αὖτε δέμας δυσπαίπαλος ἀμφιβέβηκεν,
ἄσχιστος κρατερός τε, τὸν οὔ κε μάλ' οὐδὲ κραταιὸς,
θηκτὸς πανδαμάτωρ τε διατμήξειε σίδηρος.
Θυμὸς ἀπειρέσιος πέλεται κατὰ δάσκιον ὕλην
ἄγριος· ἐν δὲ βροτοῖς τιθασὸς μερόπεσσί τ' ἐνῃής.

τεῦξε L : τεῦξεν K || ἐθελήσῃ CDEFGHKLM : ἐθέλουσι B — 510 ἀντιλέγουσιν : ἀντίσχουσιν Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 332. V. autem Preuss, *Zum Sprachgebrauch der Oppiane*, I, p. 8 || ἀπηλεγέες ABCEF : ἀπηλαγέες D : ἀπολεγέες I || βιᾶται Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 392, f. 29 v°. Sed cf. I, 445 ; IV, 8, 220 — 511 κλαυληδὸν BC — 514 γνάμπτειν <τ'> M || εὐρύναι M : εὐρύναις H || τ' om. ABCDEFGHI — 515 θηρὶ KL || τοι : τι L : τοῖς Schneider[1], sed cf. II, 524 θηρὸς ; III, 295 φῦλα, etc. — 519 βαιοτέροισι : (οὔασιν) ἀμφοτέροισι Wassius, *Miscellaneae observationes*, 1733, III, p. 55 — 524 θηρσὶν K — 525 γε μὲν : γενομενον G — vv. 526-527 om. L — 526 γάρ οἱ Vir doct. ap. Schneider[1] : δ' οἱ ACDEFGHIK : δ' ὁ M : δὴ B : γὰρ δὴ Turnebus || αἰωροῦνται Brunck in ms. Paris. S. gr. 383, f. 44 — 527 δ' om. ABCDEFHIM || αὖτε : αὖ τὸ GHM || δυσπαίπαλον A_2 in litura HKM — 528 ἄσχιστος sic K (quod scripserat Schneider[2]) : αἴσχιστος C_2L : ἐχιστὸς I : αἴσχιστός τε BC_1DEF : σχιστός τε AGHM. Cf. *Paraphr.*, p. 28, 10 σχιστὸν || κραταιὸς : κελαινὸς A_2 in marg. K — 529 τε διατμ. : διατετρήνειε Brunck in ms. Paris. S. gr. 383, f. 44 — 531 μερόπεσσί

Ἐν μὲν ἄρα χλοερῇσι πολυκνήμοισί τε βήσσαις
καὶ φηγοὺς κοτίνους τε καὶ ὑψικάρηνα γένεθλα
φοινίκων πρόρριζα κατὰ χθονὸς ἐξετάνυσσεν,
ἐγχρίμψας θηκτῇσιν ἀπειρεσίαις γενύεσσιν·
ὁππότε δ' ἐν μερόπων βριαρῇσι πέλει παλάμῃσι,
λήθετο μὲν θυμοῖο, λίπεν δέ μιν ἄγριον ἦτορ·
ἔτλη καὶ ζεύγλην, καὶ χείλεσι δέκτο χαλινὰ,
καὶ παῖδας νώτοισι φέρει σημάντορας ἔργων.
Φήμη δ' ὡς ἐλέφαντες ἐπ' ἀλλήλοις λαλέουσι,
φθογγὴν ἐκ στομάτων μεροπηΐδα τανθρύζοντες·
ἀλλ' οὐ πᾶσιν ἀκουστὸς ἔφυ θήρειος ἀϋτή·
κείνην δ' εἰσαΐουσι μόνοι τιθασεύτορες ἄνδρες.
Θαῦμα δὲ καὶ τόδ' ἄκουσα, κρατιστοτάτους ἐλέφαντας
μαντικὸν ἐν στήθεσσιν ἔχειν κέαρ, ἀμφὶ δὲ θυμὸν
γινώσκειν σφετέροιο μόρου παριοῦσαν ἀνάγκην.
Οὐκ ἄρα τοι μούνοισιν ἐν ὀρνίθεσσιν ἔασι
κύκνοι μαντιπόλοι γόον ὕστατον ἀείδοντες,
ἀλλὰ καὶ ἐν θήρεσσιν ἐὴν θανάτοιο τελευτὴν
φρασσάμενοι τόδε φῦλον ἰήλεμον ἐντύνουσι.
Ῥινόκερως δ' ὄρυγος μὲν ἔφυ δέμας αἰθυκτῆρος
οὐ πολλὸν μείζων, ὀλίγον δ' ὑπὲρ ἄκρια ῥινὸς
ἀντέλλει κέρας αἰνὸν, ἀκαχμένον, ἄγριον ἄορ·
κείνῳ κεν χαλκόν τε διατρήσειεν ὀρούσας,
οὐτήσας βριαρήν τε διατμήξειε χαράδρην.
Κεῖνος καὶ σθεναρῷ περ ἐφορμηθεὶς ἐλέφαντι
πολλάκις ἐν κονίῃσι νέκυν τοιοῦτον ἔθηκεν.
Ἠρέμα δὲ ξανθοῖς ἐπὶ καλλικόμοισι μετώποις

τ' : μερόπεσσιν Schneider[2] — 532 χλοεροῖσι CD || πολυκνήμῃσι BGK : πολυκνήμαισι L : πολυκμήτοισί H — 535 ἐγχρίψας ABCDEFGHILM — vv. 538-576 om. A_1, restit. A_5 — 541 τονθορύζοντες GIKL : θορύζοντες M : θωρύζοντες E : θωρύσσοντες C : θωρύσσωντες DF. V. *Paraphr.*, p. 28, 22 τονθορυσμός conj. (τὸν θορυσμόν mss) — 542 ἀλλὰ πᾶσιν C_1DEF — 543 κείνην scripsi. Cf. I, 212 : κεῖνοι mss. Cf. *Paraphr.*, p. 28, 22 ἐκείνοις : κείνης Brodaeus, *Annotationes*, p. 84 || μόνον CDEF — 545 ἔχει A_5C || δὲ : σὲ A_5 || θυμῷ A_5FGI — 546 γινώσκει BC || μόρου : νόμου A_5HΣ || παρεοῦσαν K — 547 ἄρα τοι : ἄρ τοι G : ἦτοι (ἄρα suprascripto) K — 548 γόον : γόνον A_5H — 549 θηρσὶν A_5BCDEFGHIM — 550 φρασσάμενον KLM. Sed cf. IV, 256, 356, 405 — 552 πολλῷ M, quod conjecerat Schneider[1]. Cf. vero II, 327 — 554 κεν om. I : καὶ KL : μὲν M || διατρήνειεν A_5H : διατρήνει ἐν BCDEF — 555 διατμήξει A_5 : διατρήσειε KL — 557 πολλάκι δ' ἐν A_5H — 558 δὲ : δ' ἐν

καὶ νώτῳ ῥαθάμιγγες ἐπήτριμα πορφύρουσι.
Πάντες δ' ἄρσενές εἰσι καὶ οὔποτε θῆλυς ὁρᾶται·
καὶ πόθεν, οὐκ ἐδάην· φράζω δ' οὖν ὡς δεδάηκα,
εἴτ' οὖν ἐκ πέτρης ὅλοὸν τόδε φῦλον ἐπῆλθεν,
εἴτ' αὐτόχθονές εἰσιν, ἐπαντέλλουσι δὲ γαίης,
εἴτε πρὸς ἀλλήλων, τέρας ἄγριον, ἐκφύονται
νόσφι πόθων καὶ νόσφι γάμων καὶ νόσφι τόκοιο.
Ἦ δὴ καὶ διεροῖσιν ἐν ὑγροπόροιο θαλάσσης
βένθεσιν αὐτόρρεκτα φύει καὶ ἀμήτορα φῦλα,
ὄστρεά τ' ἠπεδαναί τ' ἀφύαι κόχλων τε γένεθλα
ὄστρακά τε στρόμβοι τε, τά τε ψαμάθοισι φύονται.
Μοῦσα φίλη, βαιῶν οὔ μοι θέμις ἀμφὶς ἀείδειν·
οὐτιδανοὺς λίπε θῆρας, ὅσοις μὴ κάρτος ὀπηδεῖ,
πάνθηρας χαροποὺς ἠδ' αἰλούρους κακοεργούς,
τοί τε κατοικιδίῃσιν ἐφωπλίσσαντο καλιαῖς,
καὶ τυτθοὺς, ἀταλοὺς ὀλιγοδρανέας τε μυωξούς·
τοὶ δ' ἤτοι σύμπασαν ἐπιμύουσι μένοντες
χειμερίην ὥρην, δέμας ὕπνοισιν μεθύοντες·
δύσμοροι, οὔτε βορὴν ἐλέειν, οὐ φέγγος ἰδέσθαι·
φωλειοῖσι δ' ἐοῖς ὕπνον τοσσοῦτον ἔχουσιν,
ἢ νέκυες κεῖνται, δυσχείμερον οἶτον ἐλόντες.

A_5BCDEFHIM || ἐπὶ : ἐστὶ B — 560 ἄρρενες BCDEFM, *Paraphr.*, p. 29, 2 : ἀρενεῖς H || οὔποτε : οὔπω KLM — 561 δ' οὖν ὡς Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 392, f. 29 v° : δ' οὐχ ὡς ABCDEFGHIK_2M : δ' ὡς οὐκ K_1 : δ' ὡς οὐ L : δέ τοι Brunck in ms. cit., *loc. cit.* — vv. 562-563 om. A_5 — 562 ἔπηλεν H : ἔθηλεν GK_2 — 563 ἀπαντέλλουσι Schneider[1], Brunck in ms. Paris. S. gr. 383, f. 44 v° — 565 γάμου καὶ τοκέτοιο K : γάμου καὶ τόκοιο L — 566 Ἦ δὴ Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 332 : ἤδη mss || ὑγροπόροιο Turnebus (Cf. III, 176) : ὑγροπόροισι mss — 568 ὄστρεον BCDE : ὀστρέων FHM || τ' (post ὄστρεα) scripsit Schneider[1] in *animadv.*, quod om. mss || κόλχων A_5HM — 569 τε (ante ψαμάθοισι) : τ' ἐν K — 570 βῶν CDEF : βαιὸν (ῶν suprascripto) G : βαιὸν A_5BHL : βαιοὺς K — 572 χαροποὺς : χαλεποὺς K — 573 τε : γε KL || κατοικιδίοισιν BCDEFI || ἐφωπλίσαντο BCDEFGL : ἐφωπλήσαντο I : ἐφοπλίσαντο A_5HM — 574 μυοξούς A_5BGH : μυοζούς CDEF — 575 δή τοι A_5BGHIKLM || ἐπημύουσι A_5BGHKLM : μύουσι I — 577 desin. A_5, rursus incipit A_1 || οὔτε : τε H || οὐ om. C_2DEFH || φέγγος <τ'> HM — 578 τοσσοῦτον : τὸν σῖτον Brodaeus, *Annotationes*, p. 87 || ἔχοντες (χουσιν suprascripto) G — 579 ἢ : ἡ ABCEFHI : ἡ <ὡς> G :

Αὐτὰρ ἐπὴν ἔαρος πρῶται γελάσωσιν ὀπωπαί,
ἄνθεά τ' ἐν λειμῶσι νέον γε μὲν ἠβήσειαν,
νωθρὸν κινήσαντο δέμας μυχάτης ἀπὸ λόχμης,
φάεά τ' ἀμπετάσαντο, καὶ ἔδρακον ἠελίου φῶς,
καὶ γλυκερῆς νεοτερπὲς ἐδητύος ἐμνήσαντο,
αὖθις δὲ ζωοί τε πάλιν ἐγένοντο μυωξοί.
Λείπω καὶ λάσιον γένος οὐτιδανοῖο σκιούρου,
ὅς ῥά νύ τοι θέρεος μεσάτου φλογερῇσιν ἐν ὥραις
οὐρὴν ἀντέλλει σκέπας αὐτορόφοιο μελάθρου.
Οἷον δή νυ ταῶνες ἐὸν δέμας ἀγλαόμορφον
γραπτὸν ἐπισκιάουσιν ἀριπρεπὲς αἰολόνωτον,
τῶν οὐδὲν μερόπεσσι Διὸς τεχνήσατο μῆτις
τερπνότερον φαιδροῖσιν ἐν ὄμμασιν εἰσοράασθαι,
οὐδ' ὅσα πανδώτειραν ἐπὶ χθόνα μητέρα βαίνει,
οὐδ' ὁπόσα πτερύγεσσιν ἐπ' ἠέρα πουλὺν ὀδεύει,
οὐδὲ μὲν ὅσσα βυθοῖσιν ἐπ' ἄγρια κύματα τέμνει.
Τοῖον ἐπ' ὀρνίθεσσιν ἀριζήλοις ἀμαρύσσει
χρυσῷ πορφυρέοντι μεμιγμένον αἰθόμενον πῦρ.
Οὐκ ἐρέω κρυερὸν γένος ὀκριόεντος ἐχίνου
μείονος· ἀμφίδυμοι γὰρ ἐχίνοις ὀξυκόμοισιν
ἀργαλέαι μορφαὶ κρυερόν τε περίδρομον ἔρκος·
οἱ μὲν γὰρ βαιοί τε καὶ οὐτιδανοὶ τελέθουσι,
τυτθῇσι φρίσσοντες ἐπὶ προβλῆσιν ἀκάνθαις·
οἱ δ' ἄρα καὶ μεγέθει πολὺ μείζονες, ἠδ' ἑκάτερθεν

ὡς Belin de Ballu || οἷτον : ἦτορ I — 580 γελάσουσιν M — 581 ἠβήσωσι Brunck in ms. Paris. S. gr. 392, f. 29 v°. Cf. vero III, 180 — 583 ἐμπετάσαντο BDI : ἐνπετάσαντο C — 585 αὖτις Schneider[1] || πάλιν <τ'> Turnebus. Sed cf. Rzach, *Sitzungsberichte-Wien*, C, 1882, p. 359 || μυοξοί GH : μυοζοὶ CDEF — 587 μεσάτου : μεγάλου KLM || φλογεραῖσιν AI — 588 <ὡς> σκέπας G — 589 νυ : τε KM : γε L : τοι I : νυ <τοι> A || δέμας Guietus ap. Schneider[1] : δόμον mss (cf. Nonn., *Dionys.*, III, 341 : δέμας conj. Koechly, δόμον mss) — 590 γναμπτὸν CDEH : γναπτὸν BF, G supra vers. || ἐπισκιάζουσι(ν) HIM — 592 φαιδρότερον τερπνοῖσιν ἐν BCDEFGH — vv. 594-595 om. KL — ἠέρα 594-ἐπ' 595 om. G — 595 τέμνει : βαίνει AIΣ — 596 ἀριζήλοισιν AC$_1$DEI : ἀριζοιλοῖσιν F || ἀμαρύσσειν BCDEHI : ἀμαρίσσειν F — 597 χρυσῷ om. CDEF || πορφύρεον CDEF : πορφυρόεντι KL : πορφύροντι Schneider[2] — 598 ὀκρυόεντος KM : ὀκρυόγεντος I — 599 μείζονος BCDEFGHKLM || ἀμφίδυμον AC$_1$: ἀμφιδύμο M || ἐχίνοις A$_2$ in rasura : ? A$_1$ — 602 προβολῆσιν AHIKL : προβολοῖσιν M. V. Opp., *Hal.*, II, 363, 400 —

ὀξέα πεφρίκασιν ἀρειοτέρῃσιν ἀκωκαῖς.
Λείπω τρισσὰ γένεθλα, κακὸν μίμημα, πιθήκων·
τίς γὰρ ἂν οὐ στυγέοι τοῖον γένος, αἰσχρὸν ἰδέσθαι,
ἀβληχρόν, στυγερόν, δυσδέρκετον, αἰολόβουλον;
Κεῖνοι καὶ φίλα τέκνα δυσειδέα δοιὰ τεκόντες,
οὐκ ἀμφοῖν ἀτάλαντον ἐὴν μερίσαντο ποθητύν,
ἀλλὰ τὸ μὲν φιλέουσι, τὸ δ' ἐχθαίρουσι χόλοισιν·
αὐταῖς δ' ἀγκαλίδεσσιν ἑῶν ἔκτεινε τοκήων.
Οὐ μέν θην οὐδ' ἀσπαλάκων αὐτόχθονα φῦλα
ποιοφάγων, ἀλαῶν, μέλπειν ἐθέλουσιν ἀοιδαί,
εἰ καὶ βάξις ἄπιστος ἐπ' ἀνθρώπους ἐπέρησεν,
ἀσπάλακας βασιλῆος ἀφ' αἵματος εὐχετάασθαι
Φινέος, ὃν ῥ' ἀτίτηλε κλυτὴ Θρῄσσα κολώνη·
Φινέϊ γάρ ποτε δὴ Φαέθων ἐκοτέσσατο Τιτάν,
μαντιπόλου Φοίβοιο χολωσάμενος περὶ νίκης,
καί οἱ φέγγος ἄμερσεν, ἀναιδέα φῦλα δ' ἔπεμψεν
Ἁρπυίας, πτερόεντα παρέστια πικρὰ γένεθλα.
Ἀλλ' ἐπεὶ οὖν περόωντο μετὰ χρύσειον ἄεθλον,
Ἀργῴης ἐπὶ νηὸς Ἰήσονι συμπονέοντες,
παῖδε Βορειόνεω Ζήτης Κάλαΐς τε κλεεννὼ,

---

604 ἀρειοτέροισιν BC : ἀρειοτέραισιν I. : ἀραιοτέροισιν K — 605 κακῶν ABCDE FGHI || (κακῶν) μιμηλὰ Gesnerus, *de quadrupedibus*, p. 964 — 606 στυγέοι Turnebus : στυγέει BCDEFI : στυγέη AGHKLM || αἰσχρὸν : ἐχθρὸν G. Cf. Opp., *Hal.*, II, 87 αἴσχιστος δ' ἰδέειν — 609 ἀτάλαντον ἐμερίσαντο A_1 : ἀτ. ἐμοιρήσαντο Schneider[2] in *annot.* — 610 ἀλλὰ <καὶ> M || φιλέουσι : στυγέουσι Dan. Heinsius ap. Rutgersium in *Variis lectionibus*, p. 455 || χιλοῖσι D supra vers. E in marg. FI : λόχοιο A_2 in rasura BGH : πόθοισι CDE : ? A_1 : πόθος μιν Rutgersius, *op. cit.*, p. 454 : πόθησις Caunegieter, *Aviani fabulae*, p. 191 : λόχευμα Brunck ap. Schneider[1] : πόθος δὲ Schneider[2] in *annot.* — 611 οὐταῖς G : αὐτὸς LM || δ' delevit Schneider[2] in *annot.* || ἔκτεινε : ἔθανε I || τέθνηκε τοκήων de Pauw, *Horapollinis hieroglyphica*, p. 382 : ἐκτείνετο πηῶν Gerhardius, *Lectiones Apollonianae*, p. 225. Cf. vero II, 199-200 — 614 ἄπυστος Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 333 — 615 ἀσπαλάκους AB : ἀσπάλακος G supra vers. H — v. 617 ante v. 616 posuerunt AB KLM — 616 Φινέος ὃν ῥ' Schneider[1] in *animadv.* : φινέος τόν ρ' GI : φινέι τόν ρ' A_2 in rasura BCDEFHKLM : φίνε + + τόν ρ' A_1 || ἀτίτηλλε G : ἀτίταλλε BCDEFKLM — 617 δὴ om. LM || Τιτὰν : πάμπαν (τιτὰν suprascripto) K : πανώπτης M — 618 χολωσαμένου GK — 619 ἔπεμπεν K — 620 περέστια C_1DEF : τεράστια Guietus ap. Schneider[1] — 622 ἀργώοις H : ἀργείης M || συμπονέοντε Rittershusius in marg. Sed cf. I, 407, etc. — 623 Βορείαο Guietus ap. Schneider[1] || κλεεννῶ DEF : κλεενὼ C_1 : κλεαινὼ

οἰκτείραντε γέροντα κατέκτειναν τότε φῦλα,
καὶ γλυκερὴν μελέοισι δόσαν στομάτεσσιν ἐδητύν.
Ἀλλ' οὐδ' ὣς Φαέθων χόλον εὔνασεν, ἀλλά μιν αἶψα
ἀσπαλάκων ποίησε γένος μὴ πρόσθεν ἐόντων·
τοὔνεκα νῦν ἀλαόν τε μένει καὶ λάβρον ἐδωδαῖς.

C_2 : κλει νώ L : κλεέννων A_2B : κλεευνων H : κλεευνῶν M : κλεενυῶ I : κελαινὸν, etc. Brodaeus, *Annotationes*, p. 91 — 624 οἰκτείραντε B. de Ballu : οἰκτείραντα A : οἰκτείραντο IKLM : οἰκτείροντο BCDEFGH : οἰκτείροντε Rittershusius : οἴκτειρόν τε Brunck ap. Schneider[1] || κατεκτείναν (sic) τότε Asulanus in ed. Aldin. : κατεκτείναντό (-το B) τε ABGHIKLM : κτείνοντό (-το EF) τε DEF : κτήνοντό τε C_1 : καὶ ἐκτήνοντό τε C_2 : κατέκτεινάν ποτε Rittershusius : κ. ποτὰ Guietus ap. Schneider[1] : κ. δέ τε Brunck, *ibid.* — 625 μελέοισι sic L_2 (quod conjecerat d'Arnaud, *Lectiones graecae*, p. 215) : μελέεσσιν ABCDEFGHIKL$_1$M — 628 λάβρον : λαῦλον M || ἐδωδῆς BCDEF : ἐδωδῇ GHI — τέλος DH || ὀππιανοῦ κυνηγετικῶν δεύτερον DEK.

ΟΠΠΙΑΝΟΥ ΚΥΝΗΓΕΤΙΚΩΝ ΤΡΙΤΟΝ

Ἀλλ' ὅτε δὴ κεραῶν ἠείσαμεν ἔθνεα θηρῶν,
ταύρους ἠδ' ἐλάφους ἠδ' εὐρυκέρωτας ἀγαυοὺς
καὶ δόρκους ὄρυγάς τε καὶ αἰγλήεντας ἰόρκους
ἄλλα θ' ὅσοισιν ὕπερθε καρήατα τευχήεντα,
νῦν ἄγε καρχαρόδοντα, θεά, φράζωμεν ὅμιλον
σαρκοφάγων θηρῶν καὶ χαυλιόδοντα γένεθλα.
Πρωτίστην δὲ λέοντι κλυτὴν ἀναθώμεθα μολπήν.
Ζηνὸς ἔσαν θρεπτῆρες ὑπερμενέος Κρονίδαο
νηπιάχου Κουρῆτες, ὅτ' ἀρτίγονόν μιν ἐόντα
ἀραμένη γενετῆρος ἀμειλίκτοιο Κρόνοιο
κλεψιτόκος Ῥείη κόλποις ἐνικάτθετο Κρήτης.
Οὐρανίδης δ' ἐσιδὼν κρατερὸν νεοθηλέα παῖδα
πρώτους ἀμφήλλαξε Διὸς ῥυτῆρας ἀγαυούς,
καὶ θῆρας ποίησεν ἀμειψάμενος Κουρῆτας.
Οἱ δ' ἄρ', ἐπεὶ βουλῇσι θεοῦ μεροπηίδα μορφὴν
ἀμφεβάλοντο Κρόνοιο καὶ ἀμφιέσαντο λέοντας,
δώροισιν μετόπισθε Διὸς μέγα κοιρανέουσι
θηρσὶν ἀρειαύλοις, καὶ ῥιγεδανὸν θοὸν ἅρμα

ὀππιανοῦ κυνηγετικῶν τρίτον sic ABCDEHIKLM : κυνηγετικῶν βιβλίον τρίτον τόδε G : inscript. om. F — 3 ἀγλαέντας AI : ἀγλαάεντας KLM : γλῆεντας F — 4 κεράατα πευκήεντα d'Arnaud, *Lectiones graecae*, p. 215 — 5 φραζῶμεθ' KL : φραζόμεθ' M — 7 πρωτίστω K || ἀνθώμεθα M — 8 Κρονίωνος K_1 — 13 ἀμφήλλαξε : ἀντήλλαξε Brunck in ms. Paris. fr. 9455, f. 475 — 14 ἀμειψάμενος : ἀμωνόμενος Brunck, *ms. cit., loc. cit.* — v. 15 om. M — 16 ἀμφεβάλλοντο AIM : ἀμφιβάλοντο BDEFH : ἀμφιβάλλοντο GG : ἀντεβάλοντο Guietus ap. Schneider[1] : ἠλλάξαντο Brunck, *ibid.* : ἠμείψαντο Brunck in ms. Paris. fr. 9455, f. 475 : ἠφιάσαντο B. de Ballu in not. || λέοντα K_1LM

Ῥείης εὐώδινος ὑπὸ ζεύγλαισιν ἄγουσιν.
Αἰόλα φῦλα δὲ τοῖσι καὶ εἴδεα θῃρσὶν ἑκάστοις.
Τοὺς μέν νυν προχοῇσι πολυρραθάγου ποταμοῖο,
Τίγρει ἐπ' εὐρυρέοντι, κυήσατο τοξεύτειρα
Ἀρμενίη Πάρθων τε πολύσπορος εὔβοτος αἶα,
ξανθοκόμαι τελέθουσι καὶ οὐ τόσον ἀλκήεντες,
πάσσονα μὲν φορέοντε δέρην μεγάλην δέ τε κόρσην,
ὄμματα δ' αἰγλήεντα καὶ ὀφρύας ὕψι βαθείας,
ἀμφιλαφεῖς ἐπὶ ῥῖνα, κατηφέας · ἐκ δ' ἄρα δειρῆς
καὶ γενύων ἑκάτερθε θοαὶ κομόωσιν ἔθειραι.
Τοὺς δὲ τρέφει μεγάδωρος Ἐρεμβῶν αὖθις ἄρουρα,
τὴν ἔθνη μερόπων εὐδαίμονα κικλήσκουσι,
δειραὶ κἀκείνοις καὶ στήθεα λαχνήεντα,
καὶ πυρὸς ἀστράπτουσιν ἀπ' ὀφθαλμῶν ἀμαρυγαί,
ἔξοχα δ' ἐν πάντεσσιν ἀρίζηλοι τελέθουσιν ·
ἀλλ' ὀλίγον τούτων γένος ἔλλαχε μυρίος αἶα.
Πουλὺς δ' ἐν Λιβύῃ ἐριβώλακι διψάδι γαίῃ
ὄχλος ἐπιβρομέει βριαρὸν βρύχημα λεόντων,
οὐκέτι λαχνήεις, ὀλίγῃ δ' ἐπιδέδρομε χαίτῃ ·
σμερδαλέος δὲ πρόσωπα καὶ αὐχένα · πᾶσι δὲ γυίοις
ἦκα μέλαν κυάνοιο φέρει μεμορυγμένον ἄνθος ·
ἀλκὴ δ' ἐν μελέεσσιν ἀπείριτος, ἠδὲ λεόντων
κοιρανικῶν Λίβυες μέγα κοιρανέουσι λέοντες.

— 19 ζεύγλησιν GHKLM — 21 νυν Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 87 v° : νῦν ABCDEFHIKLM : οὖν G || πολυρραγάθου KL : πολυρραθέου A_1CDEFI. Cf. Opp., *Hal.*, V, 652 — 22 Τίγρει ἐπ' εὐρυρέοντι Schneider[2]. Cf. enim I, 276-277, IV, 355 : ἴστρῳ ἐπ' εὐρυρέοντι ABCDEFHKLM : ἴστρου ἐπ' εὐρυρέοντός GI : Τίγρι ἐπ' εὐρυρέοντι Brodaeus, *Annotationes*, p. 93 || ξεύτειρα M : τοξευτήρων CEF : ζευτήρων D — 24 ξανθοκόμοι I — 25 φορέοντε δέρην scripsi (de duali cf. I, 164) : φορέονται δειρὴν ABCDEFGHLM : φορέουσι δέρην IK (quod scripserant Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 88) : φορέοντι (δέρην) Rittershusius in marg. — 28 καὶ μόωσιν I : κομάουσιν KL : κομέουσιν M — 29 αὖτις Schneider[1] — 34 ἔλλαχεν Ἀσίας αἶα Brunck in ms. Paris. S. gr. 392, f. 30 — 36 ἐπιβρεμέει AI || βριαρῶν BCDEFGH — 37 ὀλίγῃ δ' ἐπιδέδρομε χαίτῃ Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 333 (Cf. Nic., *Ther.*, 503) : ὀλίγῃ δ' ἐπιδέδρομεν αἴγλῃ ABCDEGH(?)I : ὀλίγῃ δ' ἐπιδέδρομε λάχνῃ F : δ' ἐπιδέδρομεν αἴγλῃ τοῖσι KLM : ὀλίγῃ δ' ἐπιδέδρομεν ἄχνῃ Rutgersius, *Variae Lectiones*, p. 72 — 38 σμερδαλέως B : σμερδαλέα M || δὲ (post σμερδ.) : τε KLM || δὲ (post πᾶσι) : δ' ἐν ACDEFI — v. 40 om. A_1, restit. A_2 in marg.

Ἐκ δέ ποτ' Αἰθιόπων Λιβύην ἡμείψατο γαῖαν,
,θαῦμα μέγ' εἰσιδέειν, μελανόχροος ἠύκομος λῖς,
εὐρὺς ὕπερθε κάρηνα, πόδας δασὺς, ὄμμασιν αἴθοψ,
μούνοισι ξανθοῖς φοινισσόμενος στομάτεσσιν.
Ἕδρακον, οὐ πυθόμην, κεῖνόν ποτε θῆρα δαφοινὸν,
κοιρανικοῖς τ' ἔμολεν διαπόμπιμος ὀφθαλμοῖσι.
Φορβῆς οὐ χατέει πάντ' ἤματα φῦλα λεόντων,
ἀλλὰ τὸ μὲν δόρποισι μέλει, τότε δ' αὖτε πόνοισιν·
οὐδ' ὕπνον μυχάτοισιν ἔχει παρὰ τέρμασι πέτρης,
ἀμφαδὸν ὑπνώει δὲ, θρασύφρονα θυμὸν ἑλίσσων,
εὕδει δ' ἔνθα κίχῃσιν ὑπείροχος ἑσπερίη νύξ.
Ἔκλυον αὖ κἀκεῖνο λεοντοκόμων αἰζηῶν,
δεξιτερὴν ὑπὸ χεῖρα φέρειν αἴθωνα λέοντα
νάρκα θοὴν, τῇ πάντα λυγρῶν ἀπὸ γούνατα θηρῶν
. . . . . .
Πεντάκι θηλυτέρη δὲ τόκων ἀπελύσατο ζώνην·
βάξις δ' ἀτρεκέως ἀνεμώλιος, ὡς ἕνα τίκτει.
Πέντὲ φέρει πρώτιστον· ἀτὰρ πίσυρας μετέπειτα
ὠδίνει σκύμνους, κατὰ δ' ἐξείης ὑπένερθε
νηδύος ἐκ τριτάτης τρεῖς ἔκθορον· ἐκ δὲ τετάρτης
ἀμφίδυμοι παῖδες· πύματον δ' ἕνα γείνατο μήτηρ
γαστρὸς ἀριστοτόκοιο κλυτὸν βασιλῆα λέοντα.

|| δ' : τ' A_2KLM — 42 ποτ' : τοτ' A_1CDEFGHI : τότ' B || ἥμειψαν A_1BCDEF HI : ἥμειψε G — 43 λῖς sic A_2 in litura KLM (quod scripserat Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 392, f. 30). Cf. IV, 80, 133, 179 : τε A_1BCDEFGHI — 44 ὄμμασιν Brunck, *loc. cit.* : ὄμμασι <δ'> ABCDEFI KLM : ὄμασι <δ'> G : ὄμμασιν <δ'> H — 45 φοινισσομένοις Schneider[2] in *annot.* — 47 τε μόλε(ν) AH — 49 τότε δ' : ποτε δ' H M : τὸ δ' I : τὸ δέ τ' Σ (quod scripserant Turnebus, Bodinus, *Oppiani... commentarius*, f. 88 v°) — 50 παρὰ : περὶ KLM — 53 αὖ κἀκεῖνο (cf. *Paraphr.*, p. 31, 21 κἀκεῖνο) : αὐτίκα κεῖνο KLM — 55 νάρκα : σάρκα Brodaeus, *Annotationes*, p. 96 : ἄλκα de Pauw, *Horapollinis hieroglyphica*, p. 310 || τῇ πάντα λυγρὰ ἄπο (η supra o scriptum est) G : τῆς πάντα λυγρὰ <καὶ> ἀπὸ I : τῇ δάμνει λυγρῶν ἀπὸ K_1LM || τῇ γούνατα θηρῶν ἀπελύσατο (*sic*) Brodaeus, *Annotationes*, p. 96 : τῇ πάντα λύειν ἀπὸ γ. θ. Turnebus : τῇ πάντα λυγρεῖ ἀπὸ γ. θ. Bodinus, *Oppiani de venatione... commentarius*, f. 89 : τῇ πάντα λύειν ὑπὸ γ. θ. Schneider[2] : καὶ πάντα λυγρῶν ὑπὸ γ. θ. Tüselmann, *Paraphr.*, p. 31 not. Sed mihi verisimilius visum est post v. 53 unum versum excidisse — 56 τόκοις Schneider[2] in *annot.* — 57 δ' om. ABCDEFGHI — 59 δ' ἐξ. : θ' ἐξ.

Πορδάλιες δ' ὁλοαὶ δίδυμον γένος· αἱ μὲν ἔπειτα
μείζονες εἰσιδέειν καὶ πάσσονες εὐρέα νῶτα,
αἱ δέ τ' ὀλιζότεραι μὲν, ἀτὰρ μένος οὔτι χερείους·
εἶδεα δ' ἀμφοτέρῃσιν ὁμοΐϊα δαιδάλλονται,
νόσφι μόνης οὐρῆς, τῇ τάμπαλιν εἰσοράασται·
μείοσι μὲν μείζων τελέθει, μεγάλῃσι δὲ μείων.
Εὐπαγέες μηροὶ, δολιχὸν δέμας, ὄμμα φαεινόν·
γλαυκιόωσι κόραι βλεφάροις ὕπο μαρμαίρουσαι,
γλαυκιόωσιν ὁμοῦ τε καὶ ἔνδοθι φοινίσσονται,
αἰθομέναις ἴκελαι, πυριλαμπέες· αὐτὰρ ἔνερθεν
ὠχροί τ' ἰοτόκοι τε περὶ στομάτεσσιν ὀδόντες.
Ῥινὸς δαιδαλέος χροιῇ τ' ἐπὶ παμφανσώῃ
ἠερόεις, πυκινῇσι μελαινομένῃσιν ὀπωπαῖς.
Ὠκύτατον θείει, καί τ' ἄλκιμον ἰθὺς ὀρούει·
φαίης, ὁππότ' ἴδοιο, διηερίην φορέεσθαι.
Ἔμπης καὶ τόδε φῦλον ἐπικλείουσιν ἀοιδοὶ
πρόσθ' ἔμεναι Βάκχοιο φερεσταφύλοιο τιθήνας·
τοὔνεκεν εἰσέτι νῦν οἴνῳ μέγα καγχαλόωσι,
δεχνύμεναι στομάτεσσι Διωνύσου μέγα δῶρον.
Τί χρέος ἐκ μερόπων δὲ κλυτὰς ἤμειψε γυναῖκας
ἐς τόδε πορδαλίων γένος ἄγριον, αὖθις ἀείσω.
Ναὶ μὴν ἄλλο θοὸν διφυὲς γένος ὠπήσαιο,

GHI : τ' ἐξ. ABCDEF || ὑπένερθε : ἐφύπερθε LM : ἀφύπερθε K — 63 παρδάλιες IKLM — 64 μείζους Schneider[2] || εὐρέα <δὲ> GH — 65 δ' ἔτ' BDEF || χερείαι M : χέρσιαι KL — 66 δαιδάλοντα BCDE : δαιδάλοντα F — 67 τῇ τάμπαλιν conjeci : τῇτ' ἔμπαλιν mss : ἡ δ' ἔμπαλιν Schneider[2] : τῇ δ' ἔμπαλιν Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 333 || εἰσοράανται Koechly, *loc. cit.* — 68 τελέθη A_1 — v. 70 om. A_1CDEFI || μαρμαίρουσι B — v. 71 om. K_1LM, restit. K_2 in marg. — 72 περιλαμπέες IKM — 74 ἐπὶ παμφανσώῃ Turnebus : ἐπὶ παμφανόωσα (-σαν D) mss : ἐπιπαμφανοώῃ Bochartus, *Hierozoïcon*, I, p. 786 — 74-75 χροιή τ' ἔπι παμφανόωσα, ἠερόεσσα μελαινομέναις πωανῇσιν ὀπ. Schneider[2] in *annot.* — 76 ὠκυτάτη K : ὀξύτατον M || θείη A_1 : θέει A_2 in litura : θείειν L : θέειν KM || ὠκυτάτη θείειν Schneider[4] : ὠκύτατόν <τε> θέειν B. de Ballu : ὠκύτατόν <τε> θέει Lehrs in ed. || ἄλκιμος IK_1, quod conjecerat Schneider[1] || ὀρούειν KLM — 78 ἐπικλύουσιν BM — 79 φεριστταφύλοιο A_1 : φερτεσταφύλοιο BCDE in marg. F : ἐριταφυλσι G : ἐρυσταφύλοιο I || τιθήνης BCDEFH : τιθήνην GI : τιθην + ς A — 81 μέγα δῶρον : κλυτὰ δῶρα KLM — 83 ἐς τόδε : εἰς τόδε KL : αὐτὸ δὲ BH : ἔστι δὲ GDEF || παρδαλίων M || αὖτις Schneider[1] — vv. 84-95 om. I — 85 λύγγας sic mss. Cf. *Paraphr.*, p. 31, 32. V. etiam Opp., *Cyn.*, III, 391 ὑστρίγγων :

λύγγας ἀριζήλους· αἱ μὲν γὰρ ἔασιν ἰδέσθαι
τυτθαὶ, βαιοτέροισί τ' ἐφωπλίσαντο λαγωοῖς·
ταὶ δ' ἄρα μείζονές εἰσιν, ἐπιθρώσκουσί τε ῥεῖα
εὐκεράοις ἐλάφοισι καὶ ὀξυτέροις ὀρύγεσσι.
Μορφὴν δ' ἀμφίδυμοι παναμοῖον ἀμφιέσαντο·
ἴσαι μὲν βλεφάροισιν ἀπ' ὀφθαλμῶν ἀμαρυγαὶ
ἰμερόεν στράπτουσι· προσώπατα δ' ἀμφοτέρῃσι
φαιδρὰ πέλει βαιόν τε κάρη καὶ καμπύλον οὖας·
μοῦνη δ' εἰσιδέειν ἀνομοίϊος ἔπλετο χροιή·
μείοσι μὲν λυγγῶν ἐπιδέδρομε ῥινὸς ἐρευθὴς,
μείζοσι δὲ κροκόεν τε θείῳ τ' εἴκελον ἄνθος.
Ἔξοχα δ' αὖ τάδε φῦλα φίλην ἀγάσαντο γενέθλην
εὔγληνοι λύγγες τε πυρίγληναί τε λέοντες
πορδάλιές τ' ὀλοαὶ καὶ τίγριες ἠνεμόεσσαι·
Τῶν δ' ὁπότε σκύμνους νεοθηλέας ἐν ξυλόχοισι
λάθρη συλήσωσιν ἀταρβέες ἀγρευτῆρες,
αἱ δ' ἄρ' ἔπειτ' ὀπίσω πάλι νεύμεναι ἀθρήσωσιν
ἐξαπίνης κενεούς τε δόμους καὶ ἔρημα μέλαθρα,
μύρονται λιγέως ἀδινὸν γόον, ἐκ δ' ἄρα τηλοῦ
κωκυτὸν προϊᾶσι πολύστονον, οἷά τε πάτρης
περθομένης ὑπὸ δουρὶ καὶ αἰθομένης πυρὶ λάβρῳ,
πεπτάμεναι περὶ τέκνα μέγα κλαίουσι γυναῖκες.
Ἦ ῥα τόσον τεκέων τε καὶ ἀρτιγάοιο γενέθλης

λύγκας Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 90 — 86 βαιοτέροισι καὶ ὀξυτέροις γενύεσσι KLM. V. autem *Paraphr.*, *loc. cit.*, καὶ τὸ μὲν ἧττον λαγωοῖς δυσμενὲς... — 87 δ' ἄρα : ῥά τε ABCDEFGH || τε : δὲ Schneider[1] — 88 ὀξυκέροις G — 89 δ' : τ' ABCDEFGH || ἀμφίδυμοι Schneider[1] : ἀμφίδυμον mss — 91 στράπτουσι : λάμπουσι KL || προσώπατα δ' : πρόσωπα τάδ' BG : πρόσωπά τ' A || ἀμφοτέροισι CDEFKM — 92 κάρη K — 94 λυγγῶν (Cf. *Paraphr.*, p. 32, 2) : λιγγῶν F : λυγρῶν B : λυγκῶν Turnebus, Bodinus, *loc. cit.* || ἐρυθὴς DEF : ἐρυθρὸς KLM (cf. *Paraphr.*, p. 32, 2 ἐρυθρὸν) : ἐρυθρὴς C — 95 κροκόεν τε Turnebus, Bodinus, *loc. cit.* : κροκόεν (τε om.) A : κροκόεντι BCDEFGH : κροκόεις τε KLM || ἴκελον GHKL : εἴκελας M || ἄνθει M : ἄνθους CDE — 97 λύγγες (cf. *Paraphr.*, p. 32, 3) : γγες D : λύγκες Turnebus || περίγληνοί L || λέαινατ KL — 98 παρδάλιες M. Cf. *Paraphr.*, p. 32, 4 παρδάλεις — 99 σκύμνους : θάμνους K — 101 πάλι νεύμεναι : παλινεύμεν G : πάλιν ἔμμεναι KLM — 102 μέλεθρα GH — 106 μέγα κλαίουσι γυναῖκες A_2 in rasura — 107 τοκέων A_2 in litura HM || τε om. LM —

φίλτρον ἐνὶ κραδίῃ στάξεν θεός· οὐδ' ἄρα μούνοις
ἀνθρώποις, οἳ πάντα νοήμασι μητίσαντο,
ἀλλὰ καὶ ἑρπηστῆρσι καὶ ἰχθύσιν ἠδὲ καὶ αὖτοῖς
θήρεσιν ὠμηστῆσι καὶ ὑψιπόλοις ἀγέλαισιν
οἰωνῶν· τόσσον ῥα φύσις κρατερώτατον ἄλλων.
Οἵην μὲν κομιδὴν τεκέων ἐνὶ κύμασι δελφὶς
αἰὲν ἔχει γλαυκός τε χάροψ φώκη τε δυσαής.
Πῶς δ' ἄρ' ἐν οἰωνοῖσι ποθὴν ἀλίαστον ἔχουσιν
ὧν τεκέων φῆναί τε βαρύφθογγοί τε πέλειαι
αἰετόεντά τε φῦλα πολύζωοί τε κορῶναι.
Πῶς δ' ὄρνις κατὰ δῶμα συνέστιος ἀνθρώποισιν,
ἀρτιτόκος, νεαροῖσι περισκαίρουσα νεοσσοῖς,
κίρκον ὑπὲρ τέγεος κατεπάλμενον ἀθρήσασα,
ὀξὺ μὲν ἔκλαγεν αἶψα, καὶ ἄνθορεν ὀξὺ λακοῦσα,
αὐχένα δ' ὑψόσ' ἄειρεν ἐς ἠέρα γυρώσασα,
καὶ πάσαις ἐκάτερθεν ἑαῖς ἔφριξεν ἐθείραις,
καὶ πτερὰ πάντα χάλασσε ποτὶ χθόνα· τοὶ δ' ἄρα δειλοὶ
τεῖχος ὑπ' εὐπτέρυγον πρυλέες τρύζουσι νεοσσοί·
ἡ δὲ καὶ ἂψ ἐφόβησε καὶ ἤλασεν ὄρνιν ἀναιδῆ,
εἰρυμένη φίλα τέκνα, τά τ' εἰσέτι νήπια φέρβει,
ἄπτερα λυσιτόκων θαλάμων ἀπολύμενα δεσμοῦ.
Ὡς δὲ καὶ ἐν θήρεσσιν ἐρίβρυχοί τε λέαιναι
πορδάλιές τε θοαὶ καὶ τίγριδες αἰολόνωτοι
παισὶ πέρι προβιβᾶσι, καὶ ἀγρευτῆρσι μάχονται,

---

v. 109 om. M || νοήματα (σι suprascripto) G : νοήματα HKL — μητίσαντο 109 ἰχθύσιν 110 om. I — 110 ἑρπυστῆρσι K : ἑρπιστῆρσι B : ἑρπηστῆσι E : ἑρπυστῆσι M — v. 111 om. M || ὑψιτόμοις I : ὑψι + ο + οις A_1 (ὑψιπόλοις A_2 in rasura) : ὑψιπότοις B. de Ballu in not. || ἀγέλησι(ν) KL — 112 κρατερώτερον HK — v. 113 om. M || τεκέων κομιδὴν K — 114 ἔχει om. A_1 — 115 δ' om. K — v. 117 om. K_1LM, restit. K_2 in marg. || πολύκρωζοί A_2 in rasura K_2 : πολύξυνοι F : πολύ + ω + + A_1 — 119 περισκαίρουσα (cf. *Paraphr.*, p. 32, 16) : ἐπισκαίρουσα KLM — 121 ἔνθορεν K : ἔκθορεν M — v. 122 om. CDEF — 123 ἐκάτερθεν ἑαῖς : ἐκάτερθε θοῶς KLM — 124 πάντα om. A || πάντ' ἐχάλασσε Schneider[1]. Cf. vero Orph., *Argonaut.*, 376 || τοὶ δ' ἄρα δειλοὶ : τοῖα A_1 — 128 λυσικόμων A_1BCDEFGHI : λυσιτόμων A_2 in litura : (v. *Paraphr.*, p. 32, 21... τῶν φυσικῶν θαλάμων...) : φυσικόμων Guietus ap. Schneider[1] || θαλάμων (γρ. πτερύγων suprascripto) G || δεσμα A_1 : δεσμοὺς I — 130 παρδάλιες M. Cf. *Paraphr.*, p. 32, 22 παρδάλεις || τίγριδες (cf. *Paraphr.*, *loc. cit.* τίγριδας) : τρίγλιδες G : τίγριες Schneider[1], sed cf. III, 340 — 131 προβε-

καί τε περὶ σφετέρων τεκέων τετλᾶσι δαμῆναι,
ἀντίον αἰχμητῆσι συνιστάμεναι μερόπεσσιν·
οὐδέ ποτ' ἐρρίγασιν ἐῆς ἐν ἀγῶνι γενέθλης
οὐ πληθὺν ἐπιοῦσαν ἀκοντοβόλων αἰζηῶν,
οὐ χαλκὸν σελαγεῦντα καὶ ἀστράπτοντα σίδηρον,
οὐδὲ βολὰς βελέων τε θοὰς μυλάκων τε θαμειάς·
σπεύδουσιν δ' ἢ πρόσθε θανεῖν ἢ τέκνα σαῶσαι.
Ἄρκτοι δ' ἀγριάδες, φόνιον γένος, αἰολόβουλον,
λάχνην μὲν πυκινὴν δυσπαίπαλον ἀμφιέσαντο,
μορφὴν δ' οὐκ ἀγανὴν παναμειδήτοισι προσώποις·
κάρχαρον, οὐλόμενον, ταναὸν στόμα, κυανέη ῥὶς,
ὄμμα τορὸν, σφυρὸν ὠκὺ, θοὸν δέμας, εὐρὺ κάρηνον,
χεῖρες χερσὶ βροτῶν ἴκελαι, πόδες αὖτε πόδεσσι,
σμερδαλέη βρυχὴ, δολερὸν κέαρ, ἄγριον ἦτορ,
καὶ πολλὴ Κυθέρεια καὶ οὐ κατὰ κόσμον ἰοῦσα·
ἤματα γὰρ καὶ νύκτας ἐελδόμεναι φιλότητος
αὐταὶ θηλύτεραι μάλ' ἐπ' ἄρσεσιν ὁρμαίνουσι,
παῦρα μεθιέμεναι γαμίης παντερπέος εὐνῆς,
τέκνα κυϊσκόμεναι νηδὺν ὅτε κυμαίνουσιν.
Οὐ γάρ τοι θήρεσσι νόμος, γαστὴρ ὅτε πλήθει,
ἐς λέχος ἐρχομένοις τελέειν φιλοτήσιον ἔργον,
νόσφι μόνων λυγγῶν ὀλιγοδρανέων τε λαγωῶν.
Ἄρκτος δ' ἱμείρουσα γάμου, στυγέουσά τε λέκτρον

δᾶσι Schneider[2] || ἀγρευτῆσι AGH — 134 <δι'> ἐῆς G I — 141 παναμηδή-τοισι G : παναμειδῆ τοῖσι A : παρ' ἀμειδήτοισι KLM — v. 143 ante v. 142 posuerunt KLM — 143 τορὸν, σφυρὸν ὠκὺ, θοὸν, coll. I, 181, Brunck in ms. Paris. S. gr. 392, f. 30 : θοὸν σφυρὸν ὠκὺ τορὸν GH : θοὸν σφυρὸν ὠκύτερον ABKLM : θοὸν σφυρὸν ὠκύτατον CDEFI — 144 πόδες δ' αὖτε (αὖται M) πό-δεσσι LM : πόδες τε ποσὶν A : πόδες τε πόδεσσι I : πόδες (ποδῶν H) δέ τε (τοι C) ποσσί(ν) BCDEFGH : πόδες ἠδὲ πόδεσσι Turnebus || χεῖρε βροτῶν ἴκελαι χείρεσσι, πόδες δέ τε ποσσί Brunck ap. Schneider[1] — 145 ἄγριον : αἰόλον ABCDEFGHIK$_2$ — 146 Κυθέρεια : γλυκυθέρεια M — 150 νηδὺν <δ'> A$_1$CDE FHI : νηδύν <θ'> G || κυμαίνωσιν BDEF || νηδὺν ὅτε κ. : μάλ' ἐπ' ἄρσεσιν ὁρμαίνουσιν L — 152 ἐς Schneider[1] : εἰς mss — 153 μόνον BIK : μόνον (ων suprascripto) D || λυγρῶν I, quod conjecit Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 333 : λυγκῶν Turnebus : ἄρκτων d'Arnaud, *Lectiones graecae*, p. 219. V. autem Timoth. Gaz. (*Supplem. Aristot.*, I, 1, ed. Lambros), § 340, καὶ γὰρ ἄνευ λαγωοῦ καὶ λύκου θὴρ πᾶσα θήλεια παρ' ὅσον δήπου τὸν

χῆρον ἔχειν, τόσα παισὶ ταλάσσατο μητίσασθαι,
πρὶν τοκετοῖο μολεῖν ὥρην, πρὶν κύριον ἦμαρ·
νηδὺν ἐξέθλιψε, βιάσσατο δ' Εἰλειθυίας.
Τόσση μαχλοσύνη, τόσσος δρόμος εἰς Ἀφροδίτην.
Τίκτει δ' ἡμιτέλεστα καὶ οὐ μεμελισμένα τέκνα,
σάρκα δ' ἄσημον, ἄναρθρον, ἀείδελον ὠπήσασθαι,
ἀμφότερον δὲ γάμῳ παιδοτροφίῃ τε μέμηλεν·
ἀρτιτόκος δ' ἔτ' ἐοῦσα μετ' ἄρσενος εὐθὺς ἰαύει.
Λιχμᾶται γλώσσῃ τε φίλον γόνον, οἷά τε μόσχοι
λιχμῶνται γλώσσῃσιν ἀμοιβαδὶς ἀλλήλοισι
τερπόμενοι· γάνυται δὲ βοὸς χροῒ καλλίκερως βοῦς·
οὐδ' ἀποπλάζονται, πρὶν ἀπὸ γλυκὺν ἦμαρ ἐλθεῖν·
θυμὸν δ' ἐσπομένοιο συνιαίνουσι νομῆος.
Ὡς ἄρκτος λιχμῶσα φίλους ἀνεπλάσσατο παῖδας,
εἰσόκε κνυζηθμοῖσιν ἀναιδέα τονθρύζωσι.
Ναὶ μὴν χειμερίην πανυπείροχα δείδιεν ὁρμὴν
καὶ λασίη περ ἐοῦσα· χιὼν δ' ὅτε πάντα παλύνει,
ἐσπερίου ζεφύρου πανεπήτριμα χευαμένοιο,
κεύθετ' ἐνὶ σπήλυγγι, τόθι σκέπας ἄρκιον εὕρῃ,
καὶ βόσιος χατέουσα πόδας χεῖράς τε λιχμαίνει,
οἷά τ' ἀμελγομένη, καὶ γαστρὸς ἔκλεψεν ἐρωήν.
Τοῖά νύ που βένθεσσιν ἐν εὐρυπόροιο θαλάσσης

τῆς κυήσεως χρόνον ἀπαγορεύει τὴν μίξιν — 155 ἔχει A_1BCDEFH || ταλάσσατο (ε suprascripto) D : ταλάσατο L : ταλάσσετο ABCEFGHIK$_2$M : τελέσσατο K_1 || μυθήσασθαι KM — 156 ὥρην πρὶν τοκετοῖο μολεῖν, πρὶν... **Brunck ap. Schneider**[1] — 157 δ' : θ' (εἰ-) K : τ' **Schneider**[2] || εἰλῃθυίας AI — 158 δ' om. ABCDEFI — 161 γάμος παιδοτροφίῃ **Schneider**[1] — γλῶσσῃ 163–λιχμῶνται 164 om. M — 164 ἀλλήλοιϊν CDEF — 165 τερπόμεναι ABFHI || χροῒ βοὸς LM — 166 ἀποπλάξονται B || εἶναι **Schneider**[1] — 168 παῖδας (γρ. πόδας suprascripto) G — 169 τονθρύζωσι scripsi (Cf. H, 541) : τονθρύζουσι A_2H : τονθορύζωσι(ν) KM : τονθορύζουσι(ν) A_1EFIL : τονθορίζουσι BCD : τονθορύξουσι G : τονθρίζωσι Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 91 v° : τονθορύσωσι **Schneider**[1] — 170 ὁρμὴν : ὥρην **Schneider**[2] in *annot.* — 171 πάντ' ἀπαλύνει ABC$_1$DEFKM : πάνθ' ἀπαλύνει G : πάντα καλύπτει I — 172 χειαμένοιο **Schneider**[2] — 173 εὕρῃ (η super ε scriptum est) F : εὕρει D : εὑρὺ BC — 174 βρώσιος M || πόδας χείλεσσι λιχαίνει K_1LM — 176 τοῖά νύ που sic AK (quod scripserant Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 92) : τοῖον ὑπεν BCDEF : τοῖον ὑπὸ GHI : τοῖως ὑπὸ L : τῇ δ' ὑπὸ M || που <περὶ> K || ἐν om. AIK

πουλύποδες σκολιοὶ παρὰ κύμασι μητίσαντο,
χείματος οἳ μεσάτου κρυερὴν τρείοντες ἐνιπὴν
κεύθονται πλαταμῶσιν ἐὰς πλοκαμῖδας ἔδοντες·
αὐτὰρ ἐπὴν ἔαρ ὄγρὸν ἐύτροφον ἀνθήσειεν,
ἀκρέμονες σφίσιν ὦκα νέοι πάλιν ἀλδήσκουσι,
καὶ πάλιν εὐπλόκαμοι δολιχὴν πλώουσι θάλασσαν.
Ἐξείης ἐνέπωμεν ἐΰστυρον, ἠνεμόεντα,
κραιπνὸν, ἀελλοπόδην, κρατερώνυχον, αἰπὺν ὄναγρον·
ὅστε πέλει φαιδρὸς, δέμας ἄρκιος, εὐρὺς ἰδέσθαι,
ἀργύρεος χροιὴν, δολιχούατος, ὀξύτατος θεῖν·
ταινίη δὲ μέλαινα μέσην ῥάχιν ἀμφιβέβηκε,
χιονέης ἑκάτερθε περισχομένη στεφάνῃσι.
Χιλὸν ἔδει, φέρβει μιν ἄδην ποεσίτροφος αἶα,
ἀλλ' αὐτὸς κρατεροῖς ἀγαθὴ βόσις ἔπλετο θηρσί.
Φῦλα δ' ἀελλοπόδων ζηλήμονα πάμπαν ὀνάγρων,
πολλαῖσίν τ' ἀλόχοισιν ἀγαλλόμενοι κομόωσι·
θηλύτεραι δ' ἔσπονθ', ὅθι τοι πόσις ἡγεμονεύει·
πρὸς νομὸν ἰθύνουσιν, ἐπὴν ἐθέλῃσιν ἀνώγειν,
πρὸς πηγὰς ποταμῶν, θηρῶν μέθυ, καὶ πάλιν αἶψα
πρὸς λασίους οἴκους, ὅταν ἕσπερος ὕπνον ἄγῃσι.
Ζῆλον δ' ἄρσεσι πᾶσιν ἐπὶ σφετέροισιν ὀρίνει
υἱάσι νηπιάχοισι πανάγριος οἶστρος ἀναιδής·
ὁππότε θηλυτέρη γὰρ ἔχει κόπον εἰλειθυίης,
ἄγχι μάλ' ἐζόμενος σφέτερον γόνον ἄντα δοκεύει·
καί ῥ' ὅτε νηπίαχον μητρὸς παρὰ ποσσὶ πέσῃσιν,

LM — **177** παρὰ : περὶ KLM — **178** οἳ om. A : ἢ BCDEFH(?) : ἐκ GI || μεσετάτου I : μεγάλου K_1 || τρείοντες : πνείοντος BCDEFI — **180** ἀνθήσῃσιν Schneider[1], sed cf. II, 581 — **183** ἠνεμόεντα Guietus ap. Schneider[1], Nauck, *Hermes*, XXIV, 1889, p. 454 : ἠερόεντα mss — κρατερώνυχον **184**-φαιδρὸς **185** om. G — **185** ὅστε : ὥστε M : ὅσσε B. de Ballu in *animadv.* || δέμας : μέγας **KLM** — **186** ἀργύφεος Brunck ap. Schneider[1] in *animadv.* et in ms. Paris. S. gr. 392, f. 30, Wernicke, *Tryphiodor.*, p. 123. Cf. vero III, 307, 329 || ὠκύτατος KLM, *Paraphr.*, p. 32, 29 — **190** καρτεροῖς G — **192** ἀγαλλόμενοι κομεῖωσι B : ἀελλόκομόωσι M — **194** ἐθέλωσι(ν) ABCDEFGH : ἐθέλουσιν I || ἀνάγειν (ω suprascripto) G : ἀνάγειν M — **197** ζῆλος BCKL || ὀρείνει BCDEF : ὀρίνειν L — **199** κόπον Jacobs, *Anth. palat.*, III, p. 546 : τόκον mss : μόγον Brunck ap. Schneider[1] : βέλος B. de Ballu in not. || εἰλειθυίας KLM : εἰληθυίας I — **200** γόνον (cf. *Paraphr.*, p. 33, 6) : δόμον (γον su-

εἰ μὲν θῆλυ πέλει, ποθέει τέκος, ἠδ' ἐκάτερθε
γλώσσῃ λιχμάζων φίλιον γόνον ἀμφαγαπάζει·
ἄρσενα δ' εἴ μιν ἴδοι, τότε δὴ τότε θυμὸν ὀρίνει
λευγαλέῳ ζήλῳ περὶ μητέρι μαινόμενος θήρ·
ἐκ δ' ἔθορεν μεμαὼς παιδὸς γενύεσσι ταμέσθαι
μήδεα, μὴ μετόπισθεν ἐὸν γένος ἠβήσειεν.
Ἡ δὲ λεχὼ περ ἐοῦσα καὶ ἀσθενέουσα τόκοισι
παιδὶ λυγρῷ πολεμιζομένῳ μήτηρ ἐπαμύνει.
Ὡς δ' ὁπότ' ἐν πολέμῳ πολυκηδέϊ μητέρος ἄντην
νηπίαχον κτείνωσιν ἀπηνέες αἰχμητῆρες,
αὐτήν τ' αὖ ἐρύωσιν ἐπισπαίροντι φόνοισιν
υἱέϊ πλεγνυμένην, στονόεν μέγα κωκύουσαν,
δρυπτομένην ἀπαλήν τε παρηΐδα, νέρθε τε μαζῶν
αἵματι δευομένην θερμῷ λιαρῷ τε γάλακτι·
ὣς καὶ θῆλυς ὄναγρος ἐφ' υἱέϊ πάμπαν ἔοικεν
οἰκτρὰ κινυρομένῃ καὶ δύσμορα κωκυούσῃ.
Φαίης κεν πανάποτμον, ἐὸν πάϊν ἀμφιβεβῶσαν,
μείλιχα μυθεῖσθαι καὶ λισσομένην ἀγορεύειν·
Ἄνερ, ἄνερ, τί νυ σεῖο προσώπατα τρηχύνονται,
ὄμματα φοινίχθη δὲ, τά τ' ἦν πάρος αἰγλήεντα;
Οὐχὶ μέτωπον ἀθρεῖς λιθοεργέος ἄγχι Μεδούσης,

---

prascripto) K : δόμον LM — 202 πέλοι Schneider[1] in *animadv.*, Brunck in ms. Paris. S. gr. 392, f. 30 — 203 φίλον AB — 204 μιν : μὲν BC || ὀρίνει : ὀρίνθη G. Hermannus, *Orphica*, p. 739 — 205 ζήλῳ : ζήλαρ G || περὶ μητέρι : περὶ μήτορι B : πυριμήτορι ACDEFH : πολεμήτορι I : πολεμήτορια G : πολεμήτωρ G. Hermannus, *Orphica*, p. 739 || μαινόμενος (cf. *Paraphr.*, p. 33, 8 μέμηνε) : ἀργαλέος ABCDEFGHI — 207 μετόπισθε νέον γέ μεν (με H) A_1BCDEFGHI : μετόπισθε νέος γέ μιν Brunck in ms. Paris. S. gr. 1103, f. 26 v° : μετόπισθε νέον γένος Schneider[2] : μετόπισθ' ἐς ἐὸν γάμον vel μετόπισθ' ἐ κερῶν γάμον Tüselmann, *Paraphr.*, p. 33 in not. || ἠβήσειεν : ἀμβήσειεν Brunck, *loc. cit.* — vv. 210-217 om. I — 210 δ' ὁπότ' : δέ ποτ' BCDEFGH : δ' ὅταν (ἐν πο.) Brunck ap. Schneider[1] in *animadv.* : δ' ὅτ' (ἐνὶ πτο.) Brunck in ms. Paris. S. gr. 392, f. 30 v° — 211 κτείνουσιν B — 212 ἐπισπαίροντι sic A_2 (cf. Nonn., *Dionys.*, X, 108) : ἐπισπαίροντα A_1 : ἔτι σπαίροντι GLM : ἔτ' ἀσπαίροντι K : ἔτι σπαίροντα BCDEFH — στονόεν 213-δρυπτομένην 214 om. CDEF — 213 μέγα : μετα A_1 — 214 ἀπαλήν sic M, quod conjecerat Guietus ap. Schneider[1] : ἀταλήν ABCDEFGHKL || μαζὸν Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 333 — 217 μινυρομένῃ K — 218 παῖδ' LM || ἀμφιβεβῶσα ABCDEFGHI — 220 πρόσωπα BC_1M : πρόσωπά τε I — 221 δὲ om. CDEF || τά om. M || τ' ἦν Vir doct. ap. Schneider[1] : τ' ἂν ABCDEFGHIM :

οὐ γόνον ἰοβόρον παναμειλίκτοιο δρακαίνης,
οὐ σκύμνον πανάθεσμον ὀριπλάγκτοιο λεαίνης.
Παῖδα λυγρὴ τὸν ἔτικτον, ὃν ἀρώμεσθα θεοῖσι,
παῖδα τεὸν γενύεσσι τεῇς οὐκ ἄρσενα θήσεις;
Ἴσχε, φίλος, μὴ τάμνε· τί μοι τάμες; οἷον ἔρεξας;
παῖδα τὸ μηδὲν ἔθηκας, ὅλον δέμας ἐξαλαώσας.
Δειλὴ ἐγὼ, πανάποτμος ἀωροτάτοιο λοχείης.
Καὶ σὺ τέκος πάνδειλον ἀλιτροτάτοιο τοκῆος.
Δειλὴ ἐγὼ, τριτάλαινα, κενὸν τόκον ὠδίνασα.
Καὶ σὺ τέκος, τμηθεὶς οὐχὶ στονύχεσσι λεόντων,
ἀλλ' ἐχθραῖς γενύεσσι λεοντείῃσι τοκῆος.
Τοιά τις ἂν πανάποτμον ἐὸν περὶ νήπιον υἷα
μυθεῖσθαι φαίη· τὸν δ' οὐκ ἀλέγοντα δαφοινοῖς
δαίνυσθαι στομάτεσσιν ἀμειδέα παιδὸς ἐδητύν.
Ζεῦ πάτερ, ὅσσον ἔφυ ζήλοιο πανάγριον ἦτορ.
Κεῖνον καὶ φύσιος κρατερώτερον εἰσοράασθαι
θῆκας, ἄναξ, δῶκας δὲ πυρὸς δριμεῖαν ἐρωὴν,
δεξιτερῇ δὲ φέρειν ἀδαμάντινον ὤπασας ἄορ.
Οὐ παῖδας τήρησε φίλους γλυκεροῖσι τοκεῦσιν,
οὐχ ἑτάρους πηούς τε μολὼν, οὐκ οἶδεν ὁμαίμους,
ὁππόταν ἀργαλέος τε καὶ ἄσπετος ἀντιβολήσῃ.
Κεῖνος καὶ προπάροιθεν ἑοῖσιν ἐφώπλισε παισὶν
αὐτοὺς ἡμιθέους καὶ ἀμύμονας ἡμιθεαίνας,
Αἰγείδην Θησῆα καὶ Αἰολίδην Ἀθάμαντα,
Ἀτθίδα καὶ Πρόκνην καὶ Θρηϊκίην Φιλομήλην

τοι KL — 223 ἰοφόρον Pierson, *Verisimilia*, p. 170 — 224 ὀρειπλάγκτοιο K — v. 226 om. K_1, restit. K_2 in marg. — 227 τάμνε : τάμε L : τέμνε M || τί μοι τάμες : τάμες. τάμες KL — 228 ὅλον : ὀλόον LM || δέμας : παῖδα GH || ἐξελκώσας I — 232 οὐχὶ ὀνύχεσσι A_2GLM : ἀλλ' οὐκ ὀνύχεσσι K : οὐχὶ στομάτεσσι I — 234 ἂν : ὃν A_1 || τοιάδε τὴν πανάποτμον Schneider[2] in *annot.* — 235 φαίη : φαίνη CDEF : φαίνεις B — 236 στομάτεσσιν ἀμειδέσι μήδεα παιδὸς Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 392, f. 30 v° — 238 καρτερώτατον M — 241 οὐ : καὶ G || τηρῆσαι ABCDEFHILM : τ' ἐρίσαι G — 242 De ms. I cf. p. 16 — 244 κείνους M || παισὶν (δὶ suprascripto) G — 245 ἡμιθεαίας A_1 : ἡμιθεαίνεις H — 246 αἰγήδην A || θησῆα (ῆ super εῖ scriptum est) F : θησεῖα BCDEL : θησέα I : θησὴ G || ἀδάμαντα BM : ἀθάμαντον H — v. 247 om. et restit. in marg. M || καὶ, ante Πρόκνην, om. GI : τε (καὶ suprascripto) C : τε K, quod conjecerat G. Hermannus, *Orphica*, p. 712

Κολχίδα τε Μήδειαν ἀρίζηλόν τε Θεμιστώ.
Ἀλλ' ἔμπης μετὰ φῦλον ἐφημερίων ἀλεγεινῶν
θηρσὶ Θυεστείην ὀλοὴν παρέθηκε τράπεζαν.
Ἔστι δ' ἐϋκρήμνοις ἐπὶ τέρμασιν Αἰθιοπήων
ἱππάγρων πολὺ φῦλον, ἀκαχμένον ἰοφόροισι
δοιοῖς χαυλιόδουσι· ποδῶν γε μὲν οὐ μίαν ὁπλήν,
χηλὴν δ' αὖ φορέουσι διπλῆν, ἰκέλην ἐλάφοισι·
χαίτη δ' αὐχενίη μεσάτην ῥάχιν ἀμφιβεβῶσα
οὐρὴν ἐς νεάτην μετανίσσεται· οὐδὲ βροτείην
δουλοσύνην ἔτλη ποθ' ὑπερφίαλον γένος αἰνόν·
ἀλλ' εἰ καί ποθ' ἕλοιεν ἐϋστρέπτοισι βρόχοισιν
ἵππαγρον δολίοισι λόχοις μελανόχροες Ἰνδοί,
οὔτε βορὴν ἐθέλει μετὰ χείλεσιν αἶψα πάσασθαι
οὔτε πιεῖν, ὀλοὸς δὲ φέρειν ζυγὸν ἔπλετο δοῦλον.
Φράζεο καὶ δύο φῦλα δυσάντεα, καρχαρόδοντα,
μηλοφόνον τε λύκον δυσδερκέα τ' αὖθις ὕαιναν,
τὸν μὲν ποιμενίων τε καὶ αἰπολίων ὀλετῆρα,
τὴν δ' ἐχθρὴν σκυλάκεσσιν ἀρειοτέροις τε κύνεσσι·
τὸν μὲν νυκτερινὸν διὰ γαστρὸς ἄφυκτον ἐρωὴν
ἀρνειῶν ἐρίφων τε πολύπλοκοι ἁρπακτῆρα,
τὴν δέ τε νυκτιπόρον καὶ νυκτιπλανῆ τελέθουσαν
οὕνεκά οἱ διὰ νύκτα φάος, σκότος αὖτε μετ' ἠῶ.

— 248 τε (ante Μήδειαν) : καὶ M, quod conjecerat G. Hermannus, *loc. cit.* Sed cf. Rzach, *Sitzungsberichte-Wien*, XCV, 1880, p. 715 — v. 249 om. et restit. in marg. M || ἀλεγεινὸν A — 251 ἐϋκρήμνοις : ἐνὶ κρημνοῖς BC : ἐν κρημνοῖς DEFGH : ἐν κρημνοῖσιν I : ἐν εὐκνήμοις Σ — 252 ἰοφόνοισι C_2 — 253 μὲν : μὴν AB : νυ (εν suprascripto) H — v. 254 om. A_1, restit. A_2 in marg. || χηλὴν : σχολῇ L || δ' αὖ : δὲ Schneider[2] — 255 χαιτὴν A_2 in litura : χηλὴν A_1 — 256 βροτείην : βροτοῖσι ABCDEFGHI — 257 αἰνόν : αὐτῶν Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 333 : αἰνεῖν G. Hermann, *Opuscula*, t. VIII, p. 45 — 258 ἐϋστρέπτοισι : ἐν εὐστρόφοισι M — 260 αἶψα : οἷσι Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 334 — 261 οὔτε <τι> AB || φέρει HK_1M || ζυγὸν φέρει(ν) K_1L — vv. 262-313 om. I. Cf. p. 16 — 262 καὶ om. BCDEFGH — 263 αὖτις Schneider[1] — 264 τε om. BCDEFGH — 265 ἀρειοτέροισι κύνεσσι M — 266 νυκτερὸν H : νυκτέριον KLM — 267 ἀρνειῶν : ἀρνῶν GH : ἀργεννῶν $BDEK_3$: ἀργενῶν ACF || πολυκλόπον Brunck ap. Schneider[1] — 268 δέ τε : δὲ (τε om.) ABC_1DEFGH : δ' αὖ C_2 : δ' αρ C_2 (sic) in marg. || νυκτιπλανῆτιν τελέθουσαν G : νυκτιπλάνητον ἐοῦσαν KLM — 269

Εἶδεα δ' ἀμφοτέροις ἀνομοίϊα θηρσὶ δαφοινοῖς·
τὸν μὲν γάρ τε κύνεσσι πανείκελον ὠπήσαιο
μείζοσι ποιμενικοῖς, λασίη δ' ἐπιέσπεται οὐρή·
ἡ δέ τε κυρτοῦται μεσάτην ῥάχιν, ἀμφὶ δὲ πάντη
λαχνήεσσα κυρεῖ, κατὰ δ' ἔγραπται δέμας αἰνὸν
κυανέῃς ἑκάτερθεν ἐπήτριμα ταινίῃσι·
στεινὴ τ' ἐκτάδιός τε πέλει καὶ νῶτα καὶ οὐρήν·
ῥινὸν δ' ἀμφοτέροισιν ἐπικλείουσιν ἀοιδοὶ
ῥιγεδανόν· τοῦ μέν τε διατμήξας περὶ πασσὶν
εἰ φορέοις, φορέοις σκυλάκων μέγα δεῖμα κραταιῶν,
καί σε κύνες κείνοισιν ἐπεμβεβαῶτα πεδίλοις
ἀντίον οὐχ ὑλάουσι πάρος γε μὲν ὑλακόωντες.
Εἰ δὲ λύκον δείρας ῥινῶν ἄπο τεκτήναιο
τύμπανον εὐκέλαδον, Διδυμήϊον, ὠλεσίκαρπον,
μοῦνόν τοι μετὰ πᾶσι βαρύβρομον ἔκλαγεν ἠχήν,
καὶ μοῦνον παταγεῖ, τὰ δ' ἐύθροα πρόσθεν ἐόντα
τύμπανα σιγάζει, κώφησέ τε πᾶσαν ἰωήν.
Καὶ φθίμενοι γὰρ ὅϊς φθίμενον λύκον ἐρρίγασι.
Θαῦμα δὲ καὶ τόδ' ἄκουσα περὶ στικτῇσιν ὑαίναις,
ἄρσενα καὶ θήλειαν ἀμείβεσθαι λυκάβαντι,
καί ῥ' ὁτὲ μὲν τελέθειν δυσδερκέα νυμφευτῆρα,
νωλεμὲς ἱμείροντα γάμων, ποτὲ δ' αὖθις ὁρᾶσθαι

νυκτὸς A_3 || μεθ' ἡῶ BCDEF — 270 δαφοινοῖς : φαεινοῖς H — 273 μεσάτη M : μέσην K || πάντα M — 274 ἔρραπται Turnebus — 276 τ' : δ' Schneider[1] || καὶ (ante νῶτα) : κατὰ Schneider[2] || νῶτος HM || οὐρὴ GHM — 277 δ' : τ' ABCDEFGH || ἐπικλύουσιν BCDEF || ἀοιδοὶ sic KLM (quod conjecerat Brunck ap. Schneider[1] in *animadv.* et in ms. Paris. S. gr. 392, f. 30 v°. Cf. *Paraphr.*, p. 34, 8 τινες τῶν παλαιῶν) : ὀδοῖσι(ν) A(?)BCDE in marg. FGH : ὀδοῦσιν E (**quod scripsit Brodaeus**, *Annotationes*, p. 111) : θανοῦσι **Pierson**, *Verisimilia*, p. 173 || ῥινός τ' ἀμφότερ' οἷσιν ἐπικλείουσιν ὀδοῦσι **de Pauw**, *Horapollinis hieroglyphica*, p. 387 — 278 ῥιγεδανὴν **G. Hermann**, *Opuscula*, t. VIII, p. 45 || τοῦ Brodaeus, *loc. cit.* : τῆς ABCDEFGHKL : τοῖς M || τε : κε KL : τοι M : γε Schneider[2] in *annot.* : τι Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 334 || παρὰ ποσσὶν L : τε πόδεσσιν (περὶ ποσσὶ suprascripto) K : τε ποσσὶν M — 279 εἰ φορέεις G : εἰ φέροις CEF : εἰ φέροις (φορέοις suprascripto) D || φορέοις, ante σκυλάκων, om. CDEFGH : φορέεις K || κραταιὸν CDEFGH — 281 ὑλακόοντες CF : ὑλακόεντες DK — 282 λύκων A || δήρας BKL || ῥινὸν BH : δηρὸν G || ἄποτεκτήναιο K : ἀποτεκτήναιο ABDEFG : ἀποκτήναιο C : ἀπεκταίναιο H — 285 δ' ἐύθρυα : δέ γ' ἀθρόα K — 287 φθίμενοι : φθίμεναι Schneider[1] — 288 τυκτῆσιν M || ὑαίνης BCDEF : ὑαίνοις M — 290 ῥ' ὁτὲ : ρας ὅτε M : ποτε Vir doct. ap. Schneider[1] — 291 ἱμείροντι M || αὖτις AD || ὁράσ-

θηλυτέρην νύμφην, λοχίην καὶ μητέρα κεδνήν.
Ἀλλὰ λύκων τελέθει πολιότριχα πέντε γένεθλα,
εἴδεα δ' ἀλλήλοις ἀνομοίϊα τεκμήραντο
φῶτες ἀμορβῆες, τοῖσιν μάλα δήϊα φῦλα.
Πρῶτα μὲν ὃν καλέουσι θρασύφρονα τοξευτῆρα·
ξουθὸς μὲν πρόπαν εἶδος, ἀτὰρ περιηγέα γυῖα
καὶ κεφαλὴν φορέει πολὺ μείζονα καὶ θοὰ κῶλα·
γαστέρα δ' ἀργαίνουσαν ἔχει πολιῇ ῥαθάμιγγι·
σμερδαλέον δ' ἰάχει τε καὶ ὑψόθι πάμπαν ὀρούει,
αἰὲν ἐπισσείων κεφαλὴν πυρόεν τε δεδορκώς.
Ἄλλος δ' αὖ μέγεθος μὲν ὑπέρτερος, ἄψεα δ' αὖτε
μηκεδανὸς, πάντεσσι θοώτερος ὦκα λύκοισι·
τὸν μέροπες κίρκον τε καὶ ἅρπαγα κικλήσκουσι.
Πολλῷ σὺν ῥοίζῳ δὲ μάλ' ὄρθριος εἶσιν ἐπ' ἄγρην
πρώτῃ ὑπ' ἀμφιλύκῃ· ῥέα γάρ τ' ἐπιδεύετ' ἐδωδῆς·
χροιὴ δ' ἀργυρέῃ σελαγεῖ πλευράς τε καὶ οὐρήν,
ναίει δ' οὔρεα μακρά· τὰ δ' ὁππότε χείματος ὥρῃ
ἐκ νεφέων προχυθεῖσα χιὼν κρυόεσσα καλύψῃ,
δὴ τότε καὶ πόλιος πέλας ἵκετο θὴρ ὀλοόφρων,
πᾶσαν ἀναιδείην ἐπιειμένος εἵνεκ' ἐδωδῆς,
λάθρῃ τ' ἐμπελάει μάλα τ' ἤρεμος, εἰσόκεν ἄγρῃ
ἐγχρίμψῃ· τὴν δ' αἶψα θοοῖς ὀνύχεσσιν ἔμαρψεν.
Ἔστι δέ τις Ταύροιο νιφοβλήτους ὑπὲρ ἄκρας
ἐνδιάων Κίλικάς τε πάγους καὶ πρῶνας Ἀμανοῦ,
καλὸς ἰδεῖν, θήρεσσι πανέξοχος, ὄντε καλεῦσι

θαι A — 295 μάλα : μέλει M : μέλε Lobeck, *Pathologiae sermonis graeci prolegomena*, p. 249 — 297 ξανθὸς K || αὐτὰρ GH — 300 δ' om. K_1LM || δ' ἰάχει : δ' ἠχεῖ CF : δηχεῖ BE in marg. : διχεῖ DE — 301 ἐπισσείων ABKLM || πυρόεντε : πυρόεντα BM : πυρόεντι C : πυρόεν τι Schneider[1] — 302 ἄψεα δ' Rittershusius in marg. : αἶψα δ' ἄρ' (ἄρ K : ἂρ DF : ἆρ HM) ADFGHKLM : αἶψα δ' ἂν BCE — 305 ὄρθριος sic M, *Paraphr.*, p. 34, 29 : ὄρθιος BCDEFGKL : ὀρ + ιος A : ὦριος H — 307 ἀργυφέῃ ABCDEFGH. Cf. autem III, 186, 329 || χροιῇ δ' ἀργυφέῃ Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 334 || πλευράν CDEFK — 309 καλύψει KLM : καλύψει (η suprascripto) GH — 311 οὔνεκ' KLM — 312 τ' (post λάθρῃ) : δ' KLM || ἐμπελάσει Σ || ἄγρῃ (cf. *Paraphr.*, p. 34, 32 ἀγρεύσειε) : αἶγα ABCDEFGH : αἰγὶ Schneider[1], Brunck in ms. Paris. S. gr. 383, f. 52 — 313 ἐγχρίψῃ ABCDEFHLM : ἐγχρίψει (η suprascripto) G — 314 ἄκρας : ἀκτὰς ABCDEFGHI — 316 ὃν καλέουσι KLM —

χρύσεον, ἀστράπτοντα περισσοκόμοισιν ἐθείραις,
οὐ λύκος, ἀλλὰ λύκου προφερέστατος αἰπύτατος θὴρ,
χείλεσι χαλκείοισι τεθηγμένος, ἄσπετος ἀλκήν.
Πολλάκι τοι καὶ χαλκὸν ἀτειρέα, πολλάκι λᾶαν
ἐμμενέως ἐτόρησε καὶ αἰχμήεντα σίδηρον.
Καὶ κύνα σείριον οἶδε καὶ ἀντέλλοντα φοβεῖται·
αὐτίκα δὴ ῥωχμὸν καταδύεται εὐρέος αἴης
ἠὲ κατὰ σπήλυγγος ἀφεγγέος, εἰσόκεν ἄζης
ἠέλιος παύσαιτο καὶ οὐλομένου κυνὸς ἀστήρ.
Ἄκμονες αὖ δοιοὶ, φόνιον γένος, αὐχένα βαιοὶ,
εὐρύτατοι νώτοισιν, ἀτὰρ λασιότριχε μηροὺς
καὶ πόδας ἠδὲ πρόσωπον ὀλίζονες, ὄμμασι βαιοί.
Τῶν ὁ μὲν ἀργυρέοις νώτοις καὶ γαστέρι λευκῇ
παμφαίνει, δνοφερὸς δὲ μόνων ἄκρα νείατα ταρσῶν·
ὅν τινες ἰκτῖνον πολιότριχα φῶτες ἔλεξαν.
Αὐτὰρ ὄγε χροιῇσι μελαινομένῃσι πέφανται,
μείων μὲν προτέροιο, τὸ δὲ σθένος οὐκ ἐπιδευής.
Θηρεύει δ' ἔκπαγλον ἐπὶ πτώκεσσιν ὀρούων·
πᾶσαί τ' ἐκ μελέων ὀρθαὶ φρίσσουσιν ἔθειραι.
Δηθάκι δ' αὖτε λύκοι καὶ πορδαλίεσσι δαφοιναῖς
εἰς εὐνὴν ἐπέλασσαν, ὅθεν κρατερόφρονα φῦλα,
θῶες· ὁμοῦ δὲ φέρουσι διπλοῦν μεμορυγμένον ἄνθος,
μητέρα μὲν ῥινοῖσι, προσώποις δ' αὖ γενετῆρα.

---

318 προφερέστερος Brunck in ms. Paris. S. gr. 383, f. 52; sed cf. III, 112 || αἰπύτατος : αἰνοτάτος K_1 : δριμύτατος M : δριμὺς L — 319 τετυγμένος BCDEFGH : τετηγμένος I : τετ+ +μένος A || ἄπλετος KLM — 320 λαᾶν : δ' αὖτε K_1 — 321 ἐτόρησε (πο supra το scriptum est) G : ἐστόρησε BC_1E — 322 de ms. I cf. p. 16 — 323 αὐτίκα ῥωχμῶ δ' (δ' om. M) ἐγκαταδύεται KLM — 325 παύσηται ἰδ' οὐλομένου Brunck ap. Schneider[1] in *animadv.* et in ms. Paris. S. gr. 392, f. 30 v°. Sed de optativi usu cf. I, 103; IV, 441 — 327 νώτοισιν : τ' ὤμοισιν ABCDEFGH : (εὐρύτατ') ὤμοισιν/I || λασιότριχες K_1M : λασιότριχας H || μηροὺς : ἄκρα M : ἄκρους K_1 — 328 πόδες A || ὀλίζοντες C_1D M — 329 ἀργυφέοις Schneider[1], sed cf. III, 186, 307 — 331 οἵτινες M — 332 πέφαται KLM : πέφα + ται A — 333 ἐπιδεής GH — 334 ὁράων ACDEFI — 335 μελάων AI — 336 δηθάκι : πολλάκι M || λύκοις KL || παρδαλίεσσιν M : πορδαλίδεσσι ABCDEFGHI || δαφοινοῖς KLM — 337 εἰς εὐνὴν : ὑσμίνην KL || κρατερόχροα ABGHI : κρατέχροα CDEF : κρατερώνυχα Gesnerus, *de quadrupedibus*, p. 769. Cf. autem II, 464 — 338 μεμορυχμένον GH — 339 προσώποισιν (δ' αὖ om.) K || μητέρος... γενετῆρος Schneider[2] in

Τίγριδος αὖ μετέπειτα κλυτὸν δέμας ἀείδωμεν,
τῆς οὐ τερπνότερον φύσις ὤπασε τεχνήεσσα
ὀφθαλμοῖσιν ἰδεῖν θηρῶν μετὰ πουλὺν ὅμιλον.
Τόσσον δ' ἐν θήρεσσι μέγ' ἔξοχος ἔπλετο τίγρις,
ὅσσον ἐν ἠερίοισι ταὼς καλὸς οἰωνοῖσι.
Πάντα μιν ἀθρήσειας ὀρέσβιον οἷα λέαιναν,
νόσφι μόνου ῥινοῖο, τὸν αἰόλον ἐστεφάνωται,
δαίδαλα πορφύροντα καὶ ἄνθεσι μαρμαίροντα.
Τοίην μὲν πυρόεσσαν ὑπὸ βλεφάροισιν ὀπωπὴ
μαρμαρυγὴν στράπτουσιν· ἀτὰρ δέμας ἔπλετο τοῖον,
καρτερὸν, εὔσαρκον· τοίη δολιχόσκιος οὐρή·
τοῖα περὶ στομάτεσσι προσώπατα· τοῖον ὕπερθε
νεύει ἐπισκύνιον· τοῖοι σελαγεῦσιν ὀδόντες.
Ὠκυτέρη τελέθει δὲ θεῶν πανυπείροχα θηρῶν·
αὐτῷ γάρ τε θέειν ἐκέλη Ζεφύρῳ γενετῆρι·
οὔτι γε μὴν γενετῆρι· τίς ἂν τάδε πιστώσαιτο,
θῆρες ὅτι δμηθεῖεν ὑπ' ἠέρι νυμφευτῆρι;
Ἔπλετο γὰρ κείνη κενεὴ φάτις, ὡς τόδε φῦλον
θῆλυ πρόπαν τελέθει, καὶ ἀδέμνιον ἄρσενός ἐστι·
δηθάκι γάρ κεν ἴδοις πολυανθέα κηλὸν ἀκοίτην·
ῥεῖα δ' ἄρ' οὐκ ἂν ἔλοις· δὴ γάρ τε λιπὼν ἐὰ τέκνα
ἐμμενέως φεύγει, θηρήτορας εὖτ' ἂν ἴδηται·
ἡ δ' ἕπεται σκύμνοισιν, ἀνιάζουσά τε θυμὸν,
χάρμα μέγ' ἀγρευτῆρσι, πρὸς ἄρκυας ἰθὺς ἰκάνει.

---

annot. || post. v. 339 unum versum periisse censebat Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 334 — 340 δέμας : γένος Schneider[2] in *annot.* — 341 τεθνήεσσα A_1CBEFGHI : τεφήεσσα B — 342 μετὰ : ἐς K || πολὺν M — v. 343 om. CDEF — 344 ὅσσον : τόσσον δ' CDEF || ἠμερίοισι M — 345 μιν : μὲν K_1M — 346 μούνου DEF : μόνον B : μοῦνον C_1 — 348 ὑπὸ : ἀπὸ KM — 349 ἀστράπτουσιν KM — 350 κρατερὸν K || ἔνσαρκον A — 351 προσώπατα : πρόσωπα G : πρόσωπά τε M — 352 νεύει <τ'> LM || τοῖον BCDF : τοῖο E || σελαγεῦσιν (cf. *Paraphr.*, p. 35, 7 λευκοὶ) : λαλαγεῦσιν ABCDEFGH : χαλαγεῦσιν I : πατραγεῦσιν Pierson, *Verisimilia*, p. 174 : σαλαγεῦσιν Schneider[2] in *annot.* — 355 οὔτι : οὔτε ABC || μὴν : μιν I : μὲν L — 356 ἠέρι (cf. *Paraphr.*, p. 35, 10 ἀὴρ) : ἠέρι (super ἠελίῳ scriptum) K : ἠελίῳ M — 360 δ' ἄρ' Brunck in ms. Paris. S. gr. 383, f. 68 (cf. *Paraphr.*, p. 35, 12 ἀλλὰ) : γὰρ ABCDEFGHI LM : μὲν K, quod conjecerat Brunck ap. Schneider[1] : δέ γ' Brunck, *ibid.* et in ms. Paris. S. gr. 392, f. 31 || ἔλοις : ἴδοις BCDEF — 362 ἔσπεται BCFIM : ἕσπετον E — v. 363 om. I || εὐθὺς ABCDEFGH — 364 ἐνιάλιος F : ἐνγάλιος

Κάπρος ἐνυάλιος δὲ μέγ' ἔξοχος ἐν θήρεσσιν
εὐνὰς μὲν ποθέει πυμάτοις ἐνὶ βένθεσι κρημνῶν,
ἔξοχα δὲ στυγέει δοῦπον πολυηχέα θηρῶν.
Θηλυτέρῃ δ' ἀλίαστος ἐφορμαίνων ἀλάληται,
καὶ μάλ' ἐρωμανέων σφριγῷ· κατὰ δ' αὐχένος ὀρθαὶ
φρίσσουσι τρίχες, οἷα περισσολόφων πτελήκων,
ἀφρὸν ἀποσταλάει τε κατὰ χθονός· αὐτὰρ ὀδόντων
ἔρκος ἐπικροτέει λευκόχροον ἄσθματι θερμῷ·
καὶ χόλος ἀμφὶ γάμοισι πολὺ πλέον ἠέπερ αἰδώς.
Θηλυτέρη δ' εἴ μέν κεν ὑποπτήξασα μένῃσιν,
ἔσβεσε πάντα χόλον, κατὰ δ' εὖνασε θηρὸς ἐρωήν·
εἰ δέ κ' ἀνηναμένη φεύγῃ φιλοτήσιον εὐνήν,
αὐτίκ' ὀρινόμενος θερμῷ πυρόεντι μύωπι
ἢ γάμον ἐξετέλεσσεν ἀνάγκῃ, ἶφι δαμάσσας,
ἢ νέκυν ἐν κονίῃσι βάλεν, γενύεσσιν ὀρούσας.
Ἔστι δέ τις κάπροιο φάτις πέρι, λευκὸν ὀδόντα
λάθριον ἐντὸς ἔχειν μαλερὴν παρόεσσαν ἐνιπήν.
Σῆμα δ' ἐφημερίοισιν ἀριφραδὲς ἐρρίζωται·
ὁππότε γὰρ πολὺς ὄχλος ἐπήτριμος ἀγρευτήρων
σὺν κυσὶν εὐτόλμοισι ποτὶ χθόνα θῆρα βάλωνται,
αἰχμῇσιν δολιχῇσιν ἐπασσύτερον δαμάσαντες,
δὴ τότ' ἀπ' αὐχένος εἴ τις ἀειράμενος τρίχα λεπτὴν
θηρὸς ἔτ' ἀσθμαίνοντος ἐνιχρίμψειεν ὀδόντι,
αἶψα μάλα σφαιρηδὸν ἀνέδραμεν αἰθομένη θρίξ.

C$_1$DE : ἐνυαλίοις KLM — 365 πυμάτων ἐν KLM — 366 στυγέει A — 368 σφριγάᾳ Lobeck, *Technologia*, p. 175 || κατ' αὐχένα (αὐχένος L) δ' ὀρθαὶ KLM : κατὰ δ' αὐχέν' ἔβειραι Lehrs, in ed., p. V — 370 ἀποστέλλει K$_1$LM || τε om. M : δὲ Schneider^2 — 371 ἔρκος Brunck ap. Schneider^1. Cf. enim III, 414 : πολλὸν mss : ὄχλον Vir doct. ap. Schneider^1 || ἐπικρατέει LM || λευκοχρόῳ ἄσθματι (ἄσθατι M) λευκῷ K$_1$LM — 373 μέν : μίν B. de Ballu in not. || ἐπιπτήξασα M : ὑποτμήξασα L — 374 δ' : τ' Schneider^2 || εὖνασε : ἔσβεσε KLM— 375 κἀνηναμένη BC : κ' ἀναινομένη I || φεύγῃ Turnebus : φεύγει mss — 376 « in θερμῷ latere affectus nomen suspicatur » Schneider^2 in annot. — 377 ἀνάγκῃ, ἶφι : ἀναγκαίῃφι KL : ἀναγκαίῃ ἶφι M || δαμάσας ABCDE FGHKM — 378 βάλ' ἐν M || de ms. I, cf. p. 16 — 380 ἔχειν Guietus ap Schneider^1 : ἔμεν mss || ἐνιπήν : αἰπὴν B : ἀϋτμὴν Vir doct. ap. Schneider^1 — 382 ἀγρευτῆρσι M — 384 ἐπασσυτέραις Schneider^1 — 385 λεπτὴν : λευκὴν KLM — 386 ἐπ' ἀσθμαίνοντος M : ἐπασθμαίνοντος K || ὀδοῦσιν KLM — 387

Καὶ δ' αὐτοῖσι κύνεσσιν ἐπὶ πλευρῇς ἑκάτερθεν,
ἔνθα συὸς γενύων πέλασαν αἶθωνες ὀδόντες,
ἴχνια πυρσευθέντα διὰ ῥινοῖο τέτανται.
Ὑστρίγγων δ' οὔπω τι πέλει κατὰ ὀάσκιον ὕλην
ῥίγιον εἰσιδέειν οὔτ' ἀργαλεώτερον ἄλλο·
τῶν ἤτοι μέγεθος μὲν ὁποῖα λύκοισι δαφοινοῖς,
βαιὸν, ὀλιζότερον, κρατερὸν δέμας, ἀμφὶ δὲ ῥινὸς
τρηχείαις λασίαισι πέριξ πέφρικεν ἐθείραις,
ὁππολαις θωρήξατ' ἐχίνων αἰόλα φῦλα.
Ἀλλ' ὅτε μιν σεύωσιν ἀρείονες ἔξοχα θῆρες,
δὴ τότε μήσατο τοῖα. Θοὰς δ' ἔφριξεν ἐθείρας,
καί τ' ὀπίσω νώτοισιν ἀκαχμένον ὠκυπέτῃσιν
ἰθὺς ἀκοντίζει μαλερὸν βέλος· ἀμφότερον δὲ
φεύγει τ' ἐμμενέως καὶ ἀλευόμενος πολεμίζει.
Δηθάκις ἔκτεινεν κύνα κάρχαρον· ὧδέ κε φαίης
αἰζηὸν τόξων δεδαηκότα τοξεύεσθαι.
Τοὔνεκεν ὁππότε μιν θηρήτορες ὠπήσωνται,
οὔτι κύνας μεθιᾶσι, δόλον δ' ἐπετεκτήναντο,
τὸν μετέπειτ' ἐρέω, θηρῶν φόνον ὁππότ' ἀείδω.
Ἰχνεύμων βαιὸς μὲν, ἀτὰρ μεγάλοισιν ὁμοίως
μέλπεσθαι θήρεσσι πανάξιος εἵνεκα βουλῆς
ἀλκῆς τε κρατερῆς ὑπὸ νηπεδανοῖσι μέλεσσιν.
Ἦ γάρ τοι κέρδεσσι κατέκτανε διπλόα φῦλα,

θρίξ : φλόξ G — 389 συῶν πέλασαν γενύων KLM : συὸς γενύων πελάσαντ' Schneider² in *annot.* : συὸς πέλασαν γενύων G. Hermannus, *Orphica*, p. 712. Sed de πέλασαν cf. Rzach, *Sitzungsberichte. Wien*, C, 1882, p. 361 — 391 Ὑστρίχων Bodinus, *Oppiani de venatione... commentarius*, f. 98 || δ' om. CDEF — 392 οὔτ' : οὐδ' KLM — 393 « corruptela aut in voce λύκος aut in ὀλιζότερον latere » videbatur Schneider, *Commentarii de rebus in scientia naturali... gestis*, XXVIII, 1786, p. 482 — 394 δὲ Schneider² : τε mss — 395 λασίῃσι KLM || πέφυκεν M — 396 θωρήξαντο M : θωρήξαντες K : θωρήσσετ' Guietus ap. Schneider¹ — v. 398 om. B || τότ' ἐμήσατο CDEFKLM || δ' seclusit Schneider¹ — 399 ὠκυπέτῃσιν : ὀξυβελέσσιν Lobeck, *Paralipomena*, p. 265 — 401 ἀλευάμενος ABCDEFGH — 402 δηθάκι D : δηθάκι <δ'> Turnebus in var. — 403 αἰζηῶν ABC || τόξοον B : τόξον M || τοξεύεσθαι <ἴδωνται> M — 404 ὠπήσονται (ων suprascripto) H : ὠπήσονται ABCDEF : ὠπτήσονται I : ἀπήσωνται M — 405 ἐπιτεκτήναντο B : ἐπετεκμήραντο K : ἐπιτεκμήραντο LM — 406 ἀείσω Schneider¹ — 407 μὲν βαῖος L || ὁμοῖος BCDEF : ὁμοῖος <μένος> H — 408 μέλπεσθαι : τοὔνεκα καὶ K_1 — 409 ὑπὸ νηπεδανοῖς K :

ἐρπηστῆρας ὄφεις καὶ ἀργαλέους κροκοδείλους,
κείνους Νειλῴους, φόνιον γένος· ὁππότε γάρ τις
θηρῶν λευγαλέων εὖδῃ τρίστοιχα πετάσσας
χείλεα καὶ χάος εὐρὺ καὶ ἄσπετον αἰόλον ἔρκος,
δή ῥα τότ' ἰχνεύμων δολίην ἐπὶ μῆτιν ὑφαίνων
λοξοῖς ὀφθαλμοῖσιν ἀπείρονα θῆρα δοκεύει,
εἰσόκε δὴ βαθὺν ὕπνον ἐπὶ φρεσὶ πιστώσηται·
αἶψα δ' ἄρ' ἐν ψαμάθοισι καὶ ἐν πηλοῖσιν ἑλυσθεὶς
ῥίμφ' ἔθορεν, πυλεῶνα διαπτάμενος θανάτοιο
τολμηρῇ κραδίῃ, διὰ δ' εὐρέος ἤλυθε λαιμοῦ.
Αὐτὰρ ὅγ' ἐξ ὕπνου βαρυαέος ἔγρετο δειλὸς,
καὶ κακὸν ἐν λαγόνεσσι φέρων τόσον ἀπροτίελπτον,
πάντῃ μαινόμενος καὶ ἀμήχανος ἀμφαλάλῃται,
ἄλλοτε μὲν ποτὶ τέρματ' ἰὼν μυχάτου ποταμοῖο,
ἄλλοτε δ' αὖ ψαμάθοισι κυλινδόμενος ποτὶ χέρσον,
ἄγριον ἀσθμαίνων, στρωφώμενος ἀμφ' ὀδύνῃσιν.
Αὐτὰρ ὅγ' οὐκ ἀλέγει, γλυκερῇ δ' ἐπιτέρπετ' ἐδωδῇ·
ἦπατι δ' ἄγχι μάλιστα παρήμενος εἰλαπινάζει·
ὀψὲ δέ τοι προλιπὼν κενεὸν δέμας ἔκθορε θηρός.
Ἰχνεῦμον, μέγα θαῦμα, μεγασθενὲς, αἰολόβουλε,
ὅσσην τοι κραδίῃ τόλμαν χάδεν. Ὅσσον ὑπέστης,
ἀγχίμολον θανάτοιο τεὸν δέμας ἀμφὶς ἐρείσας.
Ἀσπίδα δ' ἰοφόρον τοίαις ἐδαμάσσατο βουλαῖς.
Πᾶν δέμας ἐν ψαμάθοισι καλύψατο θῆρα δοκεύων,
νόσφι μόνης οὐρῆς τε καὶ ὀφθαλμῶν πυροέντων·

εἰπὼν ἠπεδανοῖς M : ὑπὸ δ' ἠπεδανοῖσι C_2 — 411 ἐρπηστῆρος D : ἐρπησθῆρας I : ἐρπυστῆρας KM : ἐρπιστῆρας L — 412 Νειλῴους : δειλαίους KLM || φόνιόν <τε> ABCDEFGHI — 413 εὕδει KM — 415 ἐπὶ : ὑπὸ M — 417 δὴ om. M : τοι Schneider[1], sed cf. II, 71 || ἐπὶ : ἐνὶ KLM || πιστώσαιτο KLM — 418 ἐλισθεὶς BCDEF : ἐλυθεὶς.G — 419 πυλεῶνα <καὶ> A || θανάτοιο (γρ. σωμάτοιο D supra vers., E in marg.) DE : σωμάτοιο F : σωμάτοιο (στο supra σω scriptum est) C — 421 ὅγ' : ὅτ' KM — 422 κακὸν : μακρὸν K || ἀπροτίοπτον KLM — v. 424 om. M || τέλματ' d'Arnaud, *Lectiones graecae*, p. 220, Schneider[2] in *annot.* — 425 δ' αὖ : θ' αὖ C_1 : δ' ἐν KLM. De praepositionis ellipsi cf. II, 569 ; IV, 326 — 427 δ' : τ' KL — 430 μέγα θαῦμα : μεγάθυμε GIK_1LM. Cf. in Arat. *Phaenom.* 15 μέγα θαῦμα et in Nonn. *Dionys.* IV, 436; VI, 359; VIII, 256, etc. ἅ μέγα θαῦμα — 431 ὅσση (ν suprascripto) L : ὅσση K || κραδίην C_1H — 432 ἀμφὶς : ἀχρὶς Koechly, *Conjectanea in Apoll. et*

οὐρῇ οἱ δολιχὴ γὰρ ὀφιονέη τε τέτυκται,
ἄκροισιν κεφαλὴ δοκέει δ' ἔμεν οἷσι κορύμβοις,
ἄντα μελαινομένη, θηρῶν φολίδεσσιν ὁμοίη.
Τὴν δ' ὅτε φυσιόωσαν ἔχιν ψολόεσσαν ἴδηται,
ἀντία γυρώσας προκαλέσσατο θῆρα δαφοινήν.
'Ασπὶς δ' ἰοφόρον πέλας ἀντήειρε κάρηνον,
στήθεά τ' ηὔρυνε, στυφελὸν δ' ὑπέσηρεν ὀδόντα,
μαρναμένη γενύεσσιν ἐτώσια λευγαλέῃσιν.
'Αλλ' οὐκ ἰχνεύμων τότ' ἀρήϊος ἐν ψαμάθοισι
δηθύνει, πικρῶν δὲ θορὼν ἐδράξατο λαιμῶν,
δαρδάπτει δὲ γένυσσιν ἑλισσομένην ἑκάτερθε,
καὶ νέκυν αὐτίκ' ἔθηκ' ἀτοφώλιον, ἐκπτύουσαν
πευκεδανὸν θανάτοιο φίλον, ζαμενῆ χόλον, ἰόν.
Ναὶ μὴν αἰολόβουλος ἐπ' ἀγραύλοισι μάλιστα
θηρσὶ πέλει κερδὼ, μάλ' ἀρήϊος ἐν πραπίδεσσι·
καὶ πινυτὴ ναίει πυμάτοις ἐνὶ φωλειοῖσιν,
ἑπταπύλους οἴξασα δόμους τρητάς τε καλιὰς
τηλόθ' ἀπ' ἀλλήλων, μή μιν θηρήτορες ἄνδρες
ἀμφὶ θύρῃ λοχόωντες ὑπὸ βροχίδεσσιν ἄγωνται·

Opp., p. 334 || ἐρεῖσαι IKL — **436** τε om. ABCDEFI : γε GH — **437** κεφαλὴ δοκέει δ' ἔμεν οἷσι B. de Ballu : κεφαλὴ (-λὴν KL) δοκέει δέ μεν (δόμεν L) οἷσι KLM : κεφαλὴν δονέει δομένοισι ABH : κεφαλὴν δονέει δ' εἰδομένη G : κεφαλὴν δονέει εἰδομένοισι I : κεφαλὴν δον ἐειδομένοισι C : κεφαλὴδονεῖε δομένοισι (-δόνεει- D) DEF : κεφάληφιν ἑλισσομένοισι **Gesnerus**, *de quadrupedibus*, p. 636 : κεφαλὴν δονέει δ' ὁλοοῖσι (**aut** δολίοισι) **Brodaeus**, *Annotationes*, p. 120 : κεφαληδὸν ἐειδομένοισι Turnebus : κεφαληδὸν ἑλισσομένοισι Schneider[2] || « versum, sensui inutilem, spurium esse » **censebat Brunck** in ms. Paris. S. gr. 383, f. 54 v°, et 392, f. 31 — **440** δαφοινὸν KLM — **441** 'Ασπὶς δ' : ἀσπὶδ' AD || πέλας ἀντίειρε L : πελάσαντ' ἤειρε ABCDEF : πελάσασ' ἤειρε GΣ : πελάσασ' ἤερε I : καλέσας ἄντ' ἦρε **Bodinus**, *Oppiani de venatione... commentarius*, f. 99 : πελάσασ' ἄντ' ἦρε **Koechly**, *Conjectanea in Apoll. et Opp.*, p. 334 — **442** ἤβρυνε K : ἄειρε I : εὔρυνε Schneider[2] || δ' om. CDEFI : τ' AB : γὰρ L_2 : θ' **Rittershusius** || ὑπέσυρεν $BC_2DEFGHK$: ὑπέσυρον C_1 : ὑπόσσαρεν I : ὑπέσηλεν L : ὑπέδηλεν M : (θ') ὑπέφηνεν **aut** (τε) σέσηρεν **Brunck** in ms. Paris. S. gr. 392, f. 31 : (τε) σέσηρεν **Schneider**[1] in *animadv.* — **443** de ms. L cf. p. 15 — **445** πικρὸν LM — **446** δὲ om. K_1LM : τε **Schneider**[4] || γενύεσσιν CDEFKLM — **447** αὐτίκ' ἔθηκ' : αὐτὴν θῆκ' K — **448** πευκεδανοῦ K || ζαμενὴ χόλον (-ήχ- D) CDEF : ζαμενη χόλον G : ζαμενήχολον **Turnebus**, **Bodinus**, *loc. cit.* Sed cf. **Opp.** *Hal.* I, 561 || ἰοῦ K || θανάτοιο βέλος ζαμενῆ χόλον ἰοῦ **Lehrs**, *Quaestiones epicae*, p. 308 — **451** φωλειοῖσιν <φωλειός> H — **454** θύρην KL : θήρη GHM : θήρι I || βρυχί-

ἀργαλέη γενύεσσι καὶ ἀντία δηρίσασθαι
θηρσί τ' ἀρειοτέροισι καὶ ἀγρευτῆρσι κύνεσσιν.
Εὖτε δὲ χεῖμα πέλει· κρυερὸν βόστρός τε χατίζει,
γυμναὶ δ' ἠμερίδες περὶ βότρυσιν ἰνδάλλονται,
δὴ τότε καὶ θήρῃ πικρὴν ἐπὶ μῆτιν ὀφαίνει,
οἰωνούς τε δόλοισιν ἑλεῖν καὶ τέκνα λαγωῶν.
Ἔννεπέ μοι κἀκεῖνα, πολύθροε Μοῦσα λίγεια,
μικτὰ φύσιν θηρῶν, διχόθεν κεκερασμένα, φῦλα,
πόρδαλιν αἰολόνωτον ὁμοῦ ξυνήν τε κάμηλον.
Ζεῦ πάτερ, ὅσσα νόησας, ὅσ' εἴδεα νῶϊ φύτευσας,
ὅσσα βροτοῖσιν ὄπασσας, ὅσ' εἰναλίοις νεπόδεσσιν.
Ὅς τόδ' ἐμήσαο πάγχυ καμήλων αἰόλον εἶδος,
ἀμφιέσας ῥινοῖσιν ἀναιδέσι πορδαλέοισι
φαίδιμον, ἱμερόεν, τιθασὸν γένος ἀνθρώποισι.
Δειρὴ οἱ ταναή, στικτὸν δέμας, οὔατα βαιὰ,
ψιλὸν ὕπερθε κάρη, δολιχοὶ πόδες, εὐρέα ταρσὰ,
κώλων δ' οὐκ ἴσα μέτρα, πόδες δ' οὐ πάμπαν ὁμοῖοι,
ἀλλ' οἱ πρόσθεν ἔασιν ἀρείονες, ὑστάτιοι δὲ
πολλὸν ὀλιζότεροι, κατά τ' ὀκλάζουσιν ὁμοῖοι.
Ἐκ δὲ μέσης κεφαλῆς δίδυμον κέρας ἰθὺς ὀρούει,
οὔτι κέρας κερόεν, παρὰ δ' οὔατα μεσσόθι κόρσης

δεσσι Σ — 456 θηρσὶν (τ' om.) ABCDEFGHI || καὶ : ἠδ' K — 457 πέλῃ Turnebus || τε : δὲ ABCDEFGHI || χατίζῃ AB — 458 δ' : θ' Schneider[1] || ἰνδάλλωνται Turnebus — 459 θήρῃ πικρὴν Brunck ap. Schneider[1] : θήρην πικρήν <τ'> K : θῆραν πικρήν <τ'> L : θήραν πικρὰν M : <περὶ> θῆρα (θήραν Gl) πικρὴν ABCDEFGHI : θήραν πικρὴν B. de Ballu : θηρᾶν πικρὴν B. de Ballu in not. : (<δὴ> καὶ) θηρσὶ πικρὴν Schneider[2] || θήραν περὶ πικρὴν μῆτιν Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 335 : θήρης πικρὴν ἐπὶ μῆτιν Lehrs in ed. (cf. praef., p. II) — 460 ἕλεν Schneider[2] — 462 de ms. I cf. p. 16 — 463 πάρδαλιν KLM || καμήλῳ ABCDEFGH — 464 ὅσσ' (ὅσ' M) ἐνόησας KLM || ὅσ' : ὃς BCDEF : ὡσ' M — 465 βοτοῖσιν Schneider[1] in *animadv.* || ὅσην ἁλίοις BCDEF : ὅσση ἁλίοις A — 467 ἀμφιέσαο AC DFI : ἀμφιέσσαο E : ἀμφιέσας <ὁ> B || πορδαλέοισι Schneider[1] in *animadv.* : πορδαλίεσσι ABCDEFGHIKL : παρδαλίεσσι M || ῥινοῖς αἰγληέσι πορδαλιδήων Brunck ap. Schneider[1] et in ms. Paris. S. gr. 392, f. 37 v° — εὐρέα 470-πόδες 471 om. M — 471 δ', post πόδες, om. BCDEFI : τ' Schneider[2] — v. 472 om. L || ἀλλὰ οἱ πρόσθεν Σ : ἀλλὰ πρόσθεν A — v. 473 om. L || κατά : καί KM — 475 κερόεν : κέρωσεν DEF : κέρασιν C || κάρσης A : κόρσην

ἀδληχραὶ κροτάφοισιν ἐπαντέλλουσι κεραῖαι·
ἄρκιον, ὡς ἐλάφοιο, τέρεν στόμα, λεπταλέοι τε
ἐντὸς ἐρηρέδαται γαλακτόχροες ἀμφὶς ὀδόντες·
αἴγλην παμφανόωσαν ἀπαστράπτουσιν ὀπωπαί·
οὐρὴ δ' αὖτ' ἐλάχεια, θοαῖς ἅτε δορκαλίδεσσιν,
ἄκραισιν μετόπισθε μελαινομένῃσιν ἐθείραις.
Ναὶ μὴν ἄλλο γένεθλον ἐμοῖς ἴδον ὀφθαλμοῖσιν
ἀμφίδυμον, μέγα θαῦμα, μετὰ στρουθοῖο κάμηλον·
τὴν ἔμπης κούφοις μεταρίθμιον οἰωνοῖσι
καὶ πτερόεσσαν ἐοῦσαν ἐμαὶ μέλψουσιν ἀοιδαὶ
οὕνεκεν ἡμετέρης μιν ἔλεν νόμος αἰόλος ἄγρης.
Οὔτε γὰρ ὀρνίθων σφε δαμάσσατο δήϊος ἰξὸς,
οὔτε διηερίην δόνακες πατέοντες ἀταρπὸν,
ἀλλ' ἵπποι σκύλακές τε θοοὶ καὶ ἀείδελα δεσμά.
Τῆς ἤτοι μέγεθος μὲν ὑπέρβιον, ὅσσον ὕπερθε
νώτοις εὐρυτάτοισι φέρειν νεοθηλέα κοῦρον·
καὶ πόδες ὑψιτενεῖς, ἴκελοι νωθροῖσι καμήλοις,
ὁπποῖον θαμινῇσιν ἀρηράμενοι φολίδεσσι
σκληρῆς ἄχρι διπλῆς ἐπιγουνίδος· ὕψι δ' ἀείρει
βαιὴν μὲν κεφαλήν, πολλὴν δὲ τανύτριχα δειρὴν
κυανέην· κείνῃσι πολὺ πτερόν· οὐ μὲν ὕπερθεν
ἠέρος ὑψιπόροισιν ἐπιπλώουσι κελεύθοις,
ἀλλ' ἔμπης θείειν ποσσὶ κραιπναὶ τελέθουσαι

B — 476 ἀπαντέλλουσι KLM — 477 ἐλάφοις M — 478 ἐρηρέδαται Schneider[1] : ἀρηρέδαται ABDEFGHIKLM : ἀρ δατα C : ἐρειρέδαται Turnebus, Bodinus, *Θppiani de venatione... commentarius*, f. 99 v° || γαλοκτόχροες DE : γλακτόχροες Guietus ap. Schneider[1], Wassius, *Miscellaneae observationes*, 1733, III, p. 57 : γαλατόχροες G. Dindorf, *Thes. graec. ling.*, s. v. γαλακτόχρους — 480 αὖτε λαχεῖα IL : αὖτε βραχεῖα KM || ἄτε : ἄρτι M — 481 ἄκρησι(ν) KLM || μελαινομέναισιν BCGHI : μελενομέναισι DEF — vv. 482-503 om. I — 485 ἰοῦσαν B || μέλπουσιν H — 488 διηερίην : δ' ἠερίην AB : δέ γ' ἠερίην KLM — πατέοντες 488-σκύλακές 489 om. G — 489 σκύλακές om. Σ || ἀειδέα BCDEF — 492 νωθῆσι ABCDEFG : νωθοῖσι H : νωθραῖσι Schneider[2] in *annot.* — 494 σκληροῖς LM : σχληροῖς K || ἄχρι : ἄγχι M — 496 κείνῃσι : κίνησε M : κίνησε (scriptum super κείνῃσι) K : κίνυσι in ed. Vascosana (1549) || πολὺ πτερὸν sic G (quod scripserat Brodaeus, *Annotationes*, p. 134) : πολύπτερον AEFHLM : πολυπτερὸν BC_2D : ποχυπτερὸν C_1 : πουλύπτερον K || Post v. 496, vv. IV,74-76 perperam inserti in omnibus mss (cf. *Paraphr.*, p. 36, 10-12), Rittershusio in *Commentariis* delendi esse visi sunt — 498

αὐτοῖσιν φορέουσιν ἴσον τάχος οἰωνοῖσιν.
Οὐδὲ μὲν ὀρνίθεσσιν ὁμοίϊος ἀμβαδὸν εὐνὴ,
Βάκτριον οἷα δὲ φῦλον ἔχουσιν ἀπόστροφα λέκτρα·
τίκτει δ' ἄπλετον ὠὸν, ὅσον χαδέειν τόσον ὄρνιν,
κυκλόσε λαϊνέοις θωρηχθέντα κελύφεσσι.
Πτῶκας ἀείδωμεν, θήρης ἐρίδωρον ὀπώρην.
Σῶμα πέλει τυτθὸν, λάσιον, δολιχώτατον οὖας,
βαιὸν ὕπερθε κάρα, βαιοὶ πόδες, οὐκ ἴσα κῶλα·
χροιὴν δ' ἀμφιέσαντ' ἀνομοίϊον· οἱ μὲν ἔασι
κυάνεοι δνοφεροί τε μελάμβωλον κατ' ἄρουραν·
ξανθοὶ δ' αὖθ' ἕτεροι πεδίων ἐπὶ μιλτοπαρήων,
αὐτὰρ ἐρίγληνοι χαροπὸν στράπτουσιν ὀπωπαὶ
κανθὸν ἀγρυπνίῃ κεκορυθμένον· οὔποτε γὰρ δὴ
ὕπνον ἐπὶ βλεφάροισιν ἀποβρίξαντες ἕλοντο,
δειδιότες θηρῶν τε βίην μερόπων τε θοὸν κῆρ·
νυκτὶ δέ τ' ἐγρήσσουσι καὶ ἐς φιλότητα μέλονται·
νωλεμὲς ἱμείρουσι γάμων, ταὶ δ' ἐγγὺς ἰοῦσαι
οὔποτ' ἀναίνονται πόσιος πολύθουρον ἐρωὴν,

κραιπνοὶ G : κραιπνοῖς ABH : κραιπνοῖσι CDEF || τελέθουσιν K_1L : ἐθέλουσαι Rittershusius in marg. || θείειν κραιπνοὶ τελέθουσι πόδεσσιν Brunck in ms. Paris. S. gr. 392, f. 31 — 499 αὐτοῖς οὐ φορέουσιν d'Arnaud, *Lectiones graecae*, p. 223 : αὐτοῖσι φορέουσαι Brunck in ms. Paris. S. gr. 392, f. 31 — 500 ἀμβαδὸν Turnebus in var. : ἀμβαδὸς CDEFL : ἄμβαδος AH : ἀμβαδος G : ἀμβοιδὸς B : ἔμβαδος K : εὔαδεν M : Ἴβιδος Brodaeus, *Annotationes*, p. 125 || εὐνῆ BCDEKL : εὐνῆς Bodinus, *Oppiani de venatione... commentarius*, f. 100 — 501 δὲ : τε ABCDEFGH, K (τ super δ scriptum est) || φῦλος AH — vv. 502-503 om. et restit. in ima pagina G — 503 θωρυσσόμενον BC : θωρισσόμενον G : θωρηχθέντα A || κελύφεσσι sic C_2 : κελύφοισι(ν) ABC_1DEFGH KLM — 504 πτῶκα H || <τ'> ἀείδωμεν GH — 506 κάρη K, quod scripserat Schneider[1], sed cf. I, 178 — 508 τε : δὲ ABCDEFGHl — 511 κανθὸν : ξανθὸν M || κάνθος... κεκορυθμένος Guietus ap. Schneider[1] : κάνθον... κεκορυθμένοι Schneider[1] : κανθοὶ... κεκορυθμένοι Schneider[2] in *annot.* — 512 ἐπὶ : ἀπὸ M — 514 δέ τ' : δ' LM || μέλλονται I : μόλονσι (sic) G : μιγῆναι Gesnerus, *de quadrupedibus*, p. 687 : μόλονται (sic) Rittershusius in marg. : μολεῖσθαι vel μολοῦσθαι (sic) B. de Ballu not. : μολόντες Lobeck ap. Buttmann, *Griech. Sprachlehre*[2], II, p. 131 — 515 ἱμείρουσι <τε> KM : ἱμείρουσι <καὶ> C || γάμων : τόκων Rittershusius in marg. || ταὶ δ' ἐγγὺς ἰοῦσαι A.-M. Desrousseaux, quam conjecturam mecum communicavit (Cf. enim I, 334) : ταὶ δ' ἐγγὺς ἐοῦσαι K_1L ; δ' ἔτι ἐγγὺς ἐοῦσαι AGHK_2 : δέ τι ἐγγὺς ἐοῦσαι M : δ' ἔτ' ἐγγὺς ἰοῦσαι BCDEF : δέ τ' ἐγγὺς ἐοῦσαι I : ἔτι δ' ἐγκύουσαι vel ἔγκυοι οὖσαι

οὐδ' ὅτε γαστρὶ φέρωσι πολύσπορον ὠκὺν ὀϊστόν.
Ἔξοχα γὰρ τόδε φῦλον, ὅσ' ἄπλετος ἔτραφεν αἶα,
πουλυγόνον τελέθει· τὸ μὲν ἄρ ποθι νηδύος ἐκτὸς
ἔμβρυον ἐκθρώσκει τετελεσμένον, ἄλλο δ' ἔσωθεν
νόσφι τριχὸς φορέει, τὸ δ' ἄρ' ἡμιτέλεστον ἀέξει,
ἄλλο δ' ἄναρθρον ἔχει θορόεν βρέφος ὠπήσασθαι·
ἐξείης τίκτει δὲ, καὶ οὔποτε θῆλυς ἀναιδὴς
λήθετο μαχλοσύνης· τελέει δ' ὅσα θυμὸς ἀνώγει,
οὐδ' αὐταῖς ὠδῖσιν ἀνηναμένη Κυθέρειαν.

Vir doct. ap. Schneider[1] : δ' ἔτι ἔγκυοι οὖσαι Turnebus in var. — 517 φέρωσι (ου suprascripto) G : φέρουσι BCDEFHIKLM || ὀϊστόν : ὄμιλον K_1LM — 518 γὰρ : δ' αὖ I || ἄπλετος : ἔπλετ' M || ἔτραφεν sic K, quod scripserat e ms. RB. de Ballu : ἔτρεφεν ABCDEFGHIL : ἔταφεν M — 519 πολύγονον GHM — 520 ἐκθρώσκειν ABC_1DEFH — 522 ὠπήσσασθαι H : ὠπάσασθαι ABCDEFI : ἀσπάσασθαι G — 525 ἀναινομένη Rittershusius — ὀππιανοῦ κυνηγετικῶν (κιν- E) τρίτον EK : τέλος σὺν θεῷ τοῦ τρίτου βιβλίου τῶν κυνηγετικῶν H : τέλος F.

ΟΠΠΙΑΝΟΥ ΚΥΝΗΓΕΤΙΚΩΝ ΤΕΤΑΡΤΟΝ

Εἴδεα μὲν τόσα θηρσὶ, τόσαι δ' ἀνὰ δάσκιον ὕλην
νυμφίδιοι φιλότητες ὁμήθειαί τε πέλονται
ἔχθεά τε κρυεροί τε μόθοι νόμιοί τε χαμεῦναι.
Τλησιπόνων δ' ἀνδρῶν χρέος ἄπλετον ἀείδωμεν,
ἀμφότερον κρατερόν τε μένος καὶ ἐπίφρονα βουλὴν
κέρδεά τ' αἰολόβουλα πολυφράστοις τε δόλοισι
φραξαμένην κραδίην· ἦ γάρ τε πρὸς ἄγρια φῦλα
μάρναται, οἷσι θεὸς σθένος ὤπασε καὶ μένος ἠὲ
καὶ φρένας οὐδ' αὐτῶν πολὺ μείονας ἀγρευτήρων.
Εἴδεα πολλὰ πέλει κλειτῆς πολυαρκέος ἄγρης,
ἄρμενα καὶ θήρεσσι καὶ ἔθνεσιν ἠδὲ χαράδραις,
μυρία· τίς κεν ἅπαντα μιῇ φρενὶ χωρήσειεν
εἰπέμεναι κατὰ μοῖραν ὑπ' εὐκελάδοισιν ἀοιδαῖς;
Τίς δ' ἂν πάντ' ἐσίδοι; τίς δ' ἂν τόσον ὠπήσαιτο
θνητὸς ἐών; μοῦνοι δὲ θεοὶ ῥέα πάνθ' ὁρόωσιν.
Αὐτὰρ ἐγὼν ἐρέω τά τ' ἐμοῖς ἴδον ὀφθαλμοῖσι,

ὀππιανοῦ κυνηγετικῶν (κιν- E) τέταρτον **sic ADRHK** : τέταρτον ὀππιανοῦ κυνηγετικῶν C_2 : ὀππιανοῦ κυνηγετικῶν βιβλίον δ' B : ὀππιανοῦ κυνηγετικῶν τμῆμα τέταρτον **M** : ἥδε τετάρτη τῆς κυνηγεσίας βίβλος G —

1 δ': τ' **Schneider**[1] — **2** νομφίδιαι **KL** : νομφίδια **M** || τε om. **GI** — **3** νόμιαί **K** — **4** δ' om. **I** || ἀείσωμεν I — **6** πολυφράκτοις **K** — **8** μάρναται **ILM** : μάρνανθ' **K**. De numeris mutatis cf. I, 445; II, 510; IV, 229 — **10** Εἴδεα **Brunck ap. Schneider**[1] : ἤθεα **mss** || πέλει κλειτῆς : περικλειτῆς **A** || πυαρκεος G : πολυάρκυος aut πολυερκέος **Brodaeus, *Annotationes*, p. 128** : πολυεργέος **Brunck ap. Schneider**[1] et in ms. Paris. S. gr. 383, f. 56 v° — **11** θήρησι **K** — **v. 13 ad finem om. H** — **15** de ms. I cf.

θήρην ἀγλαόδωρον ἐπιστείχων ξυλόχοισιν,
ὅσσα τ' ἀπ' ἀνθρώπων ἐδάην, τοῖσιν τὰ μέμηλεν,
αἰόλα παντοίης ἐρατῆς μυστήρια τέχνης,
ἱμείρων τάδε πάντα Σευήρου Διὸς υἱῷ
ἀείδειν· σὺ δὲ, πότνα θεὰ, παγκοίρανε θήρης,
εὐμενέουσα θοῇ βασιληίδι λέξον ἀκουῇ,
ὅφρα τεῶν ἔργων προμαθὼν ὁαρίσματα πάντα
θηροφονῇ, μακαριστὸς ὁμοῦ παλάμῃ καὶ ἀοιδῇ.
Θηρῶν οἱ μὲν ἔασιν ἐπίφρονες, αἰολόβουλοι,
ἀλλὰ δέμας βαιοί· τοὶ δ' ἔμπαλιν ἀλκήεντες,
βουλὴν δ' ἐν στήθεσσιν ἀνάλκιδες· οἱ δ' ἄρ' ὁμαρτῇ
καὶ κραδίην δειλοὶ καὶ γυῖα πέλουσ' ἀμενηνοί,
ἀλλὰ πόδεσσι θοοί· τοῖσιν δὲ θεὸς πόρε πάντα,
βουλὴν κερδαλέην, κρατερὸν μένος, ὠκέα γοῦνα.
Γινώσκουσι δ' ἕκαστος ἐῆς φύσιος κλυτὰ δῶρα,
ἔνθ' ὀλιγοδρανέες τε καὶ ἔνθα πέλουσι δαφοινοί.
Οὐκ ἔλαφος κεράεσσι θρασὺς, κεράεσσι δὲ ταῦρος·
οὐ γενύεσσιν ὄρυξ, κρατεροὶ γενύεσσι λέοντες·
οὐ ποσὶ ῥινόκερως πίσυνος, πόδες ὅπλα λαγωῶν·
πόρδαλις οἶδ' ὁλοὴ παλαμάων λοίγιον ἰὸν,
καὶ σθένος αἰνὸς ὄϊς μέγα λαϊνέοιο μετώπου,
καὶ κάπρος μένος οἶδεν ἑῶν ὑπέροπλον ὀδόντων.

---

p. 16 — 17 ἐπιστίχων ABCDE — 20 Σευήρου Διὸς υἱῷ Brodaeo auctore scripsi (V. enim I, 4. De forma Σευήρου cf. *Epigrammata graeca*, ed. Kaibel, add. 888 a 5) : σευήρω (σέου ἥρω A) διὸς υἱῶ AL. Cf. Tzetzae *Exegesin in Iliadem*, ed. G. Hermannus, p. 30, 27 : σευήρω διὸς υἱῶ BCDEFG : σεβήρω διὸς υἱῷ I : σεβήρου διὸς υἱῶ M : σεβήρω τῶ διὸς υἱεῖ K : Σευήρον Διὸς υἱῷ Brodaeus, *Annotationes*, p. 128 : Σεβήρου τοῦ Διὸς υἱῷ Salvini, *Oppiano della Pesca e della Caccia*, p. 133 — 21 πότνια M — 22 ἀκοῇ GM — 23 προμαθὼν... πάντα om. M || ὁρίσματα FI : ὁρίσαιατα ABDEG : ὁρίσαιατα C_1 : ὁρίσαιατο C_2 : οὐρίσματα vel διορίσματα Brodaeus, *Annotationes*, p. 128 : ὠρίσματα Turnebus : ἀορίσματα Bodinus, *Oppiani de venatione... commentarius*, f. 102 : εὑρήματα B. de Ballu not. — 26 τοὶ : τὸ A — 27 βουλὴ A — vv. 28-30 om. G — 30 μένος : δέμας M || γοῦνα : γυῖα F in rasura K_1L — 31 γιγνώσκουσι B — 33 οὐκ ἔλαφος κεράεσσι δὲ κεράεσσι θρασὺς ταῦρος B — 34 κρατερὸς C_2DEFI, quod scripsit Turnebus — 35 ῥινοκέρω AB || πίσυνοι ΑΣ : πίσυνο B — 36 πάρδαλις KM, *Paraphr.*, p. 37, 20 || ὁλοὸν

Ὅσσαι μέν νυν ἔασιν ἐπακτήρεσσι δαφοινοῖς
μουναδὸν ἐν σκοπέλοισι προμήθειαί τε πάγαι τε,
κεκριμένας φράσομεν θήρας ἐπὶ θηρσὶν ἑκάστοις·
ξυνὰ δέ θ' ὅσσα πέλουσιν, ὁμοίης δ' ἔλλαχεν ᾠδῆς.
Ξυναὶ θηροσύναι δὲ λίνων ξυναί τε ποδάγραι·
ξυνὰ δέ τ' ἀνθρώποισι ποδωκέα πάντα γένεθλα
ἵπποις ἠδὲ κύνεσσι διωκέμεν, ἄλλοτε δ' αὖτε
καὶ μούνοις ἵπποισι κυνῶν ἄτερ ἰθὺς ἐλαύνειν·
ἵπποισιν κείνοισιν, ὅσοι περὶ Μαυρίδα γαῖαν
φέρβοντ', ἢ Λιβύεσσιν· ὅσοι μὴ κάρτεϊ χειρῶν
ἄγχονται ψαλίοισι βιωμένοιο χαλινοῦ,
πείθονται δὲ λύγοισιν, ὅπη βροτὸς ἡγεμονεύει.
Τοὔνεκεν ἱππελάται κείνων ἐπιβήτορες ἵππων
ἠδὲ κύνας λείπουσι φίλους, πίσυνοι δ' ἐλόωσιν
ἵπποις ἠελίου τε βολῇ, καὶ νόσφιν ἀρωγῶν.
Ξυνὸν ἀκοντίζειν δὲ καὶ ἀντία τοξάζεσθαι

M — 39 νυν Turnebus : νῦν ABCDEFIKLM : partic. om. G — 40 προμηθείη K_1 || τε πάγαι τε om. A_1CDEFI || πάγαι : πάγαι (οι suprascripto) A_2 : πάγοι M : παγεταί L : μέλεται K_1 — 41 κεκριμένης GI || ἕκαστοι A_1 : ἕκαστοι (τοις suprascripto) G — v. 42 om. M || τόσσα ABCDEFGI : τ' ὅσσα Schneider² || δ' om. IKL : τ' Schneider¹ || ἔλλαχον KL — 43 de ms. I cf. p. 16 || ξυναὶ <δὲ> CDEFI || δὲ : ἐς I : τε Schneider¹ — v. 44 ante v. 43 posuit M — 44 δέ τ' Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 102 : δέ γ' K : δ' ABCDEFGILM — 45 ἄλλοτε : ὁππότε ABCDEFGI — 46 ἐλαύνει GI : ἐλαύνῃ CEF : ἐλαύνει (η suprascripto) D — 48 φέρβοντ' ἢ (cf. I, 171-172, 289-291) : φέρβοντι I : φέρβοντ' αἳ A_1 : φέρβονται KL (cf. *Paraphr.*, p. 37, 27 οἱ τοὺς Λιβυκοὺς ἵππους ἀναβαίνοντες τοὺς περὶ τὴν Μαυρίδα γῆν) : φέρβονται <καὶ> M — 49 ἄγχονται (cf. *Paraphr.*, p. 37, 29 κατάγχονται) : ἄρχονται FKLM || ψαλίοισι Schneider² : ψελίοισι mss || βιωμένοιο scripsi (cf. Mosch. *Idyll.* I, 13 βιωμένη) : βιωμένοιο A : βιωμένοιο B : βιώμενοι DEFG : βιώμενοι I : βιόμενοι C_1 : βιώμενοι <οἷα> LM : βιώμενον <οἷα> K : βιαζόμενοι C_2 : βιαζομένοιο Turnebus, Bodinus, *op. cit.*, f. 102 v° — 51 ἐπιβώτορες B : ἐπιβότορες CDE — 52 ἠδὲ : εἰ δὲ L : οὐδὲ Brodaeus, *Annotationes*, p. 129 : τῆλε B. de Ballu not. : nisi versus excidit, τῆλε Schneider² in *annot.* || δ' : κ' LM : τ' K, quod scripserat Turnebus — 53 βολὴν KM || ἵπποις ἠελίου γε βολῆς ἅμα νόσφιν ἀρωγῶν d'Arnaud, *Lectiones graecae*, p. 224 || <ἐν γὰρ (ἐν γὰρ om. E) τῷ τοῦ (τοῦ om. M) ἡλίου φλογμῷ (φλεγμῷ E) οἱ θῆρες (ἔλαφοι E) κάμνουσιν> E in marg. juxta vv. 53-54, M in textu post v. 56 — 54 τοξεύεσθαι

θῆρας ἀρειοτέρους, τοίτ' ἀνδράσιν ἶφι μάχονται.
Ἐς δὲ λίνον χρειὼ στέλλειν οἰήϊα θήρης,
καὶ πνοιὴν ἀνέμου φεύγειν, ἄνεμόν τε δοκεύειν.
Οἷα δὲ ποντοπόρων ἑκάτων ἐπιβήτορες ἄνδρες
ἐζόμενοι πρύμνῃσι, νεῶν ἐφέποντες ὀχῆας
ἠέρα παπταίνουσι καὶ ἀργέστῃσι νότοισι
πειθόμενοι τανύσαντο λινοπτερύγων ὅπλα νηῶν·
ὣδε καὶ ἐν τραφερῇ κέλομαι θηρήτορας ἄνδρας
παπταίνειν ἑκάτερθεν ἐπιπνείοντας ἀήτας,
ὄφρα λινοστατέωσι βροχηλατέωσί τε πάντῃ
αὔραις ἀντιάσαντες· ἐπεὶ μάλα θήρεσι πᾶσιν
ὀξύταται ῥινῶν ὀσφρήσιες· εἰ δὲ φράσαιντο
ἢ σταλίκων ὀδμὴν ἢ πεπταμένοιο λίνοιο,
ἔμπαλιν ἰθύνουσιν, ἐπιστροφάδην δὲ φέβονται
αὐτοῖς ἄντα βροτοῖσι, πόνον δ' ἄλιον θέσαν ἄγρης.
Τῷ μοι παπταίνοιεν ἐπαιγίζοντας ἀήτας
θηροφόνοι, στάλικάς τε λινοστασίην τ' ἐφέποιεν
ἀντιπέρην ἀνέμοιο βολῆς· ὄπιθεν δ' ἐλάοιεν
ἐς νότον, αἰθρήεντος ἐγειρομένου βορέαο·
ἐς δὲ βορῆν, σαλαγεῦντες ἔπι δροσεροῖο νότοιο·
εὖρου δ' ἱσταμένοιο θέειν ζεφυρίτισιν αὔραις·
κινυμένου ζεφύροιο δὲ θωῦς εἰς εὖρον ἐλαύνειν.
Ἀλλὰ σύ μοι πρώτιστα λεόντων ἔξοχον ἄγρην
ἐν θυμῷ βάλλοιο καὶ ἀνδρῶν ἄλκιμον ἦτορ.
Κῦρον μὲν πρώτιστον ἐπεφράσαντο κιόντες,

(αζ supra εύ scriptum est) K : τοξεύεσθαι L : τοξεύσασθαι M — 55 τοίτ' : τοιπ' G : ὅτ' LM : ὅταν K || μάχωνται KLM — 57 ἀνέμον BFM : ἀνέμων in ed. Vascosana (1549) || τε : δὲ I — 58 δὲ : τε I || ποντεπορεύων I — 59 ἐφέποναι I : ἀμφιέποντες K — 60 ἀργεστῆρσι B — 64 βροχηλατέωσί sic A_2KL (*cf. Paraphr.*, p. 38, 3 τοὺς βρόχους... πηξάμενος) : βοηλατέωσί ABCD EFGI : βηλατέωσί M || τε om. CDEF — 66 ἦν δὲ φράσαιντο M : ἠδ' ἐφράσαντο KL — 68 θύουσιν Schneider[1] || δὲ : τε Schneider[2] || φέβονται (ἢ φέρβονται suprascripto) G : φέρονται (ὁ suprascripto) K : φέρονται LM — 70 ἐπαπτίζοντας (αἰγί suprascripto) G — 71 λινοσταδίην KLM — 72 ὄπισθεν C_2DFGI : ὄπισθε C_1M : ὄπιστεν L || δ' ἐλάοιεν sic K (quod scripserant Turnebus, Bodinus, *Oppiani de venatione... commentarius*, f. 103) : δ' ἔλοιεν ILM : δὲ ἔλοιεν ABCDEFG — 74 βορᾶν K : βορὰν LM. Cf. *Paraphr.*, p. 38, 9 βορρᾶν || σαλαγεῦτας G : σελαγεῦντος AIKM : σελαγεῦννος L || δνοφέροιο KLM — 75 ζεφυρίτησιν ACEFG : ζεφυρίτοισιν D — 76 κινυμένου GIK : κινουμένου AB || κ. δὲ ζ. θοῦς BDEFI — 77 σύ : σοί A — 78 βάλλοις LM || καί <τ'>

ἔνθα περὶ σπήλυγγας ἐρίβρομος ἠύκομος λῖς
ἐνδιάει, μέγα δεῖμα βοῶν αὐτῶν τε νομήων·
θηρὸς δ' αὖ μετέπειτα πελώριον ὠπήσαντο
ἴχνεσι τριβομένοισιν ἀταρπιτὸν, ἦ ἔνι πολλὸς
λαρὸν πιόμενος ποταμηπόρος ἰθὺς ὀδεύει.
Ἔνθ' ἤτοι βόθρον μὲν εὐδρομον ἀμφὶς ὄρυξαν,
εὐρὺν καὶ περίμετρον· ἀτὰρ μεσάτῃ ἐνὶ τάφρῳ
κίονα δειμάσθην μέγαν, ὄρθιον, ὑψικόλωνον·
τοῦ δ' ἄπο μὲν κρεμάσαντο μετήορον αὖ ἐρύσαντες
ἀρνειὸν νεογιλὸν ὑπ' ἀρτιτόκοιο τεκούσης·
ἔκτοθε δ' αὖ βόθροιο περίτροχον ἐστεφάνωσαν
αἱμασιὴν, πυκάσαντες ἐπασσυτέροις μυλάκεσσιν,
ὄφρα κε μὴ πελάσας δολερὸν χάος ἀθρήσειε.
Καί ῥ' ὁ μὲν ὑψικρεμὴς ὑπομάζιος ἀμνὸς ἀϋτεῖ·
τοῦ δέ τε πειναλέην κραδίην ἐπάταξεν ἰωή·
μαιόμενος δ' ἴθυνε, φίλον κεχαρημένος ἦτορ,
ἴχνος ἐπισπέρχων βληχῆς, ἠδ' ἔνθα καὶ ἔνθα
παπταίνων πυρόεν· τάχα δ' ἤλυθεν ἄγχι δόλοιο,
ἀμφί τε δινεῖται, κρατερὸς δέ ἑ λιμὸς ὀρίνει.
Αὐτίκα δ' αἱμασιὴν μὲν ὑπέρθορε γαστρὶ πιθήσας,
δέκτο δέ μιν χάος εὐρὺ περιστεφὲς, οὐδ' ἐνόησεν
ὡς ἐπὶ βυσσὸν ἵκανεν ἀνωΐστοιο βερέθρου·
πάντοσε δινεῖται δὲ, παλίσσυτος αἰὲν ὀρούων,
ὁπποῖος περὶ νύσσαν ἀεθλοφόρος θοὸς ἵππος,
ἀγχόμενος παλάμῃσι καὶ ἡνιόχοιο χαλινῷ.
Οἱ δ' ἄρ' ἀπὸ σκοπιῆς τηλαυγέος ἀθρήσαντες

KLM — 80 ἐρίβροχος M — 81 δεῖμα : πῆμα I — 83 πολλὸς : πολὺ I — 84 λαρὸν : λάβρον Brunck ap. Schneider[1] — 86 περίδρομον C || μεσάτω M — 87 δειμάσθον M || ὄρθριον M — 89 νεογιλλὸν ABDEFG : νεωγιλὸν I || ὑπ' : ἀπ' Schneider[1], sed cf. Hom., *Il.*, VIII, 543 ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ, etc. — 91 σμυλάκεσσιν I : σκυλάκεσσιν K — 93 ἀπομάζιος Schneider[2] || ἀμνὸς : ἀρνὸς KLM, *Paraphr.*, p. 38, 19 — 94 πιναλέην ABCDEF — 95 μαινόμενος IKM || ἴθύνει LM : ἴθύνει <γε> K : ἴθυσε Brunck ap. Schneider[1] || κεχαρισμένος A_1BC_2 : κεχαριμένος C_1 — 97 δόλοιο : λόχοιο K_1 — 99 de ms. I cf. p. 16 — 101 βυσσὸν : βῆσσαν KLM || ἀνοστήτοιο Schneider[1], Brunck in ms. Paris. S. gr. 383, f. 58, sed cf. Opp., *Hal.*, III, 43 — 102 πάντοτε ABC || αἰὲν om. L : αὖθις K — 105 ἄρ' ἀπὸ (cf. *Paraphr.*, p. 38, 24 ἀπὸ) : ἄρα

ἀγρευτῆρες ὄρουσαν, ἐριτμήτοισι δ' ἰμᾶσι
δησάμενοι καθιᾶσιν ἐύστροφα τυκτὰ μέλαθρα,
ὀπταλέον κἀκεῖσε δόλον κρύψαντες ἐδωδῆς·
αὐτὰρ ὅγ' ἐκ βόθροιο δοκεύμενος αὐτίκ' ἀλύξειν
ἔνθορε καγχαλόων· πάρα δ' οὐκέτι νόστος ἕτοιμος.
Ὣδε μὲν ἀμφὶ χυτὴν Λιβύων πολυδίψιον αἶαν.
Αὐτὰρ ἐϋρρείταο παρ' ὄχθαις Εὐφρήταο
ἵππους μὲν χαροποὺς μεγαλήτορας ἀρτύνονται
θήρειον ποτὶ μῶλον· ἐπεὶ χαροποὶ γεγάασι
κραιπνότατοι θείειν καὶ ἀναιδέες ἴφι μάχεσθαι,
καὶ μοῦνοι τετλᾶσι λεόντων ἀντία βρυχήν·
οἱ δ' ἄλλοι τρείουσι καὶ ἀγκλίνουσιν ὀπωπάς,
δειμαίνοντες ἄνακτος ἑοῦ πυριλαμπέα κανθὸν,
ὡς ἐφάμην καὶ πρόσθεν ἐν ἱππαλέῃσιν ἀοιδαῖς.
Πεζοὶ δ' ἐκτανύσαντο λίνοιο περίδρομον ἕρκος,
ἄρκυας ἀσσυτέροις ἐπιδειμάμενοι σταλίκεσσι·
τόσσον δ' αὖθ' ἑκάτερθεν ἐπιπρονένευκε κεραίη,
ὅσσον ἐπημύει κέρας ἀρτιτόκοιο σελήνης.
Τρισσοὶ δ' αὖ λοχόωσι λίνων ἔπι θηρητῆρες,
εἷς μέσατος, δοιοὶ δ' ἄρ' ἐπ' ἀκροτάτοισι κορύμβοις,
ὁππόσον ἐκ μεσάτοιο γεγωνότος ἀμφοτέροισιν
εἰσαΐειν ἑκάτερθε διπλῶν ἀκρόπτερα φωτῶν.

ABCDEF : ἄρ' ἐκ GI — 106 ὄρουσαν : ἔδησαν M || ἐριτμήτοις K : ἀριθμήτοισι Brodaeus, *Annotationes*, p. 132 : ἐϋτμήτοισι Guietus ap. Schneider[1] — 107 μέλεθρα ABGIK$_3$M : κέλετρα Gesnerus, *de quadrupedibus*, p. 661 — 108 ἐδωδαῖς B — v. 110 om. ABCDEF || ἔκθορε LM — 111 ὣδε μὲν : ὡς δὲ μὲν A$_1$BCDEFGI : ὡς δάμη Gesnerus, *loc. cit.* || λιβύην L, quod scripserat Schneider[2] sine ulla mutationis mentione — 112 ἐυρείταο ABEI : εὐρύταο M : ἐρείταο C$_1$: εὐρρείτω L : εὐρρείτου G || ὄχθας KLM — 113 χα + + πους A$_1$ (χαροπους A$_2$ in rasura) || μεγαλήνορας (τ suprascripto) G : μεγαλήνορας ABCDEF. Cf. vero I, 334 || ἀρτύναντες BCDEFI : ἀρτύνανται G — 116 τετλάασι KLM || βρυχήν sic A$_2$ in litura M, quod scripserat Turnebus (cf. *Paraphr.*, p. 38, 34 βρύχημα) : βρύχειν A$_1$BCDEFGIKL — 118 περιλαμπέα ABCDEFI — 119 ἱππαλέῃσιν sic A$_2$ in litura : ἱπταλέῃσιν K : ἱππαλέοισιν A$_1$BCDEFGIM. De ἱππαλέῃσιν cf. I, 242; II, 14 — 120 ἕλκος A — 121 ἀσσυτέροισιν LM : ἀσσοτέροις A$_1$BCDEFI : ἀσσοτέροιο G : ἀσσυτέρῃς Turnebus, sed cf. Opp., *Cyn.*, IV, 380 ; *Hal.*, IV, 606 (v. comment. crit. Schneider[2]); *Paraphr. Ixeutic.*, 3, 12 — 123 ἐπημειη G : ἐπιμύει BCI — 124 Τρισσοὶ : τόσσοι M — 125 ἄρ' om. GM — 126 μεσάτοις B || γεγονότος C$_1$DI : γεγονώτος E : γεγονωνότος G : γεγωνότες KM — 127 de ms.

Οἱ δ' ἄλλοι στήσαντο νόμῳ πολέμοιο δαφοινοῦ,
φρυκτοὺς αὐσταλέους πυριλαμπέας ἀμφὶς ἔχοντες·
ἀνδρῶν δ' αὐτὸς ἕκαστος ἔχει σάκος ἐν χερὶ λαιῇ
(ἀσπίδος ἐν πατάγῳ θηρσὶν μέγα δεῖμα δαφοινοῖς)·
δεξιτερῇ δὲ φέρει πεύκης ἀποδαιόμενον πῦρ·
ἔξοχα γὰρ δείδοικε πυρὸς μένος ἠΰκομος λῖς,
οὐδ' ἐσιδεῖν τέτληκεν ἀσκαρδαμύκτοισιν ὀπωπαῖς.
Οἱ δ' ὁπότ' ἀθρήσωσι λεόντων ἄλκιμον ἦτορ,
πάντες ὁμῶς ἱππῆες ἐπέσσυθεν, ἀμφὶ δὲ πεζοὶ
ἕσπονται παταγεῦντες, ἀϋτὴ δ' αἰθέρ' ἱκάνει.
Θῆρες δ' οὐ μίμνουσιν, ἐπιστροφάδην δὲ νέονται
θυμὸν ὀδὰξ πρίοντες, ἀμυνέμεν οὐκ ἐθέλοντες.
Ὡς δ' ἰχθῦς ἀνὰ νύκτα δολόφρονες ἀσπαλιῆες
πρὸς βόλον ἰθύνουσι θοαῖς ἀκάτοισι φέροντες
λαμπομένας δαΐδας· τοὶ δὲ τρείουσιν ἰδόντες
ἔλλοπες, οὐδὲ μένουσιν ἑλισσομένην ἀμαρυγήν·
ὣς καὶ θῆρες ἄνακτες ἐπιμύουσιν ὀπωπάς.
Καὶ τότε δειδιότες κτύπον ἀνδρῶν καὶ φλόγα πυρσῶν,
αὐτόματοι πλεκτῇσι λίνων λαγόνεσσι πέλασσαν.
Ἔστι δέ τις θήρης τρίτατος νόμος Αἰθιοπήων
ἀκάματος, μέγα θαῦμα· τὸ δ' ἀνέρες ἀλκήεντες
Αἴθοπες ἠνορέῃ πίσυνοι πίσυρες τελέθουσι.

I cf. p. 16 || φωτῶν : ὤτων K_2 — 128 ἄλλω A — 129 δισταλέους K : αὐσταλέας GI || περιλαμπέας I — 130 αὐτὸς (ἕκαστος om.) ἔχει <μέγα> K_1 || σάκος χειρί (χερί K) τε λαιῇ K_1LM — 131 ἀσπίδα συμπαταγῶν d'Arnaud, *Lectiones graecae*, p. 2[illegible]5 : ἀσπίδος εὐπατάγου Schneider[1] || versum suppositicium esse censebat Brunck in ms. Paris. S. gr. 392, f. 31 — 132 ἄποδαιόμενον C_2L : ἄπο δαιόμενον Rittershusius — 133 δείδεικε BC : δείδυκε A : δέδοικε I — 134 ἐπιδεῖν B : ἐσιδέειν I || τέτληκα B : τέτλ' aut τλῆκ' Brodaeus, *Annotationes*, p. 135 || ἀσκαρδαμύκτοισιν sic A_2BIL (cf. *Paraphr.*, p. 39, 8 ἀσκαρδαμύκτως). V. I, 208 : ἀκαρδαμύκτοισιν FK : ἀσκαρδαμύτοισιν A_1G : ἀκαρδαμύτοισιν CDE : σκαρδαμύκτοισιν M : ἀταρμύκτοισιν Bentleius, *Horat.* (od. I, 3, 18), p. 12 — 136 ἐπεσσυντ' M — 137 ἔπονται CDEFG : ἔποντο I — 138 οὐ scripsi : αὖ mss — vv. 140-144 om. I — 141 ἀκάτησι CDEFLM : ἀκάταις K || φορέοντες KL — 142 ὀδόντες A_1 — 143 οὐδὲ : ἠδὲ Miller, *Oppian's Gedicht von der Jagd*, IV, p. 40 || μαρμαρυγήν KL — 144 ἐπημύουσιν AG — v. 145 om. D || κτύπον sic A_2 in litura KLM. Cf. *Paraphr.*, p. 39, 15 κτύπῳ : κύκλον A_1B CEFGI — 146 αὐτόμακτοι A_1 || πλεκτοῖσι(ν) BI — 148 τὸ δ' : τότ' KLM — 149 τελέθασι G : τελέουσι Rittershusius in marg. Sed cf. Orph., *Lithica*, 586;

Πλεκτὰ σάκη τεύχουσιν ἐϋστρέπτοισι λύγοισι
καρτερὰ καὶ πλευρῇσι περίδρομα, καδδὲ βοείας
ἀζαλέας τανύουσιν ἐπ' ἀσπίσιν ὁμφαλοέσσαις
ἄλκαρ ἔμεν τ' ὀνύχων βριαρῶν γενύων τε δαφοινῶν·
αὐτοὶ δ' οἱὸς ἄωτα πρόπαν δέμας ἀμφιέσαντο,
σφιγξάμενοι καθύπερθεν ἐπασσυτέροις τελαμῶσι·
καὶ κόρυθες κρύπτουσι καρήατα· μοῦνα δ' ἀθρήσαις
χείλεά τε ῥῖνάς τε καὶ ὄμματα μαρμαίροντα.
Ἄντα δὲ θηρὸς ἴασιν ἅμ' ὁρμαῖς, εὐκελάδοιπι
μάστιξιν θαμινῇσι δι' ἠέρος αἰθύσσοντες·
αὐτὰρ ὅγε σπήλυγγος ὑπεκπροθορὼν ἁλίαστος
βρυχᾶται πετάσας φόνιον χάος ἀντία φωτῶν,
δερκόμενος χαροποῖσιν ὑπ' ὄμμασιν αἰθόμενον πῦρ,
θυμῷ παφλάζων ἴκελος δίοισι κεραυνοῖς.
Οὐ τοῖον Γάγγοιο ῥόος πρόσθ' ἠελίοιο
Ἰνδὸν ὑπὲρ δάπεδον Μαρυανδέα λαὸν ἀμείβων
μυκᾶται βρύχημα πελώριον, ὁππότε κρημνῶν
ἐκπροθορὼν ἐκάλυψε μέλαν δέμας αἰγιαλοῖο·
ὅστε, καὶ εὐρύτατός περ ἐὼν, καί τ' εἴκοσιν ἄλλοις
κυρτοῦται ποταμοῖσι κορυσσόμενος λάβρον ὕδωρ·
οἷον ἐπισμαραγεῖ ὁρίος ἀσπετον ἠδὲ χαράδραι
βρυχηθμοῖς ὁλοοῖσιν, ἐπιβρέμεται δ' ὅλος αἰθήρ.
Καί ῥ' ὁ μὲν αὐτίκ' ὄρουσε λιλαιόμενος χροὸς ἄσαι,

Anthol. Palat., 1, 31, 3, etc. — 150 λίγοισι CDEFI : λίνοισι K_1LM — 153 ἔμεν : μέν K_1LM || τ', post ἔμεν, delevit Brunck ap. Schneider[1] || ἔμεν βριαρῶν τ' ὀνύχων Brunck in ms. Paris. S. gr. 383, f. 68 — v. 154 om. I || ἀώτω GM — 156 ἀθρήσαις Brunck ap. Schneider[1] : ἀθρήσεις mss — 157 τε (post χείλεά) Brunck ap. Schneider[1] : καὶ mss — 158 θηρῶν (ὁ suprascripto) D || ἅμ' ὁρμαῖς sic AB (cf. *Paraphr.*, p. 39, 23 ἀερίοις τοῖς ἅλμασιν) : ἅμ' ὡρμαῖς K_2 in marg. : ἅμα ῥώμαις CDEFI : ἅμα ῥώμ' G : ἀολλέες K_1LM : ἀμορβεῖς Schneider[1] in *animadv.* — 159 θαμινῇσι : δαφοινῇσι L || ἠέρος : αἰθέρος I — 160 ὅγε : ὅγ' ἐκ KLM || ὑπερπροθορὼν KLM — 162 ὑπ' : ἐπ' ABC DEFGI — 163 δήοισι A_2 in litura BIK — 164 γάγγιον (γγοιο suprascripto) ῥόος F : γάγγης ὀρούει M : δ' ἄγγος ὁράας L : Γάγγαο ῥόος Turnebus — 165 βαρυανθέα DF : βαρυανσέα I : βαρυειδέα G : μαρινανθέα C : μαυρανθέα Turnebus in var., Bodinus, *Oppiani de venatione... commentarius*, f. 105 — 167 ἐκάλυψε (cf. *Paraphr.*, p. 39, 29 καλύπτει) : ἐκύλισε A_1EF : ἐκύλισσε DG : ἐκίλυσε C || μέλαν : μολὼν AG : μολῶν BCDEF || δέμας μέλαν M — 168 ἄλλοις om. A_1 — 169 ποταμοῖς ABCDEF : ποταμοῖο I || λάβρον : λαρὸν KLM — 170 δρίος : δρυὸς B : δρυμὸς A_2 in litura M || ἄσπετον : ἄπιον (?) A_1 — vv.

λαίλαπι χειμερίῃ πανομοίϊος · οἱ δὲ μένουσιν
ἀστεμφεῖς πυρόεσσαν ἐπαιγίζουσαν ἐνιπήν.
Αὐτὰρ ὅγ' ἔν τ' ὀνύχεσσι γένυσσί τε λευγαλέῃσιν
ἄσχετος ὃν κεν ἕλῃσιν ἐπαιθύσσων κεραΐζει.
Τὸν δ' ἕτερος κατόπισθε μεταθρώσκων αἰζηῶν
κικλήσκει, παταγῶν τε διαπρύσιόν τε γεγωνώς.
Αἶψα δ' ἐπιστρεφθεὶς μεγαλήνωρ ἡὔκομος λῖς
ὦρτο λιπὼν ὃν ἔμαρψεν ὑπὸ στόμα · καὶ πάλιν ἄλλος
δέγμενος ἠϋγένειον ὀρίνει θῆρα κελαινόν ·
ἄλλοι δ' ἀλλαχόθεν μιν ἐπασσύτεροι κλονέουσι
ῥινοῖσιν πίσυνοι σακέεσσί τε καὶ τελαμῶσι,
τοὺς οὔτε κρατερὸι γενύων τάμνουσιν ὀδόντες,
οὔτε σιδηρείων ὀνύχων πείρουσιν ἀκωκαί.
Αὐτὰρ ὁ μαψίδιον φθινύθει πόνον, ἄκριτα θύων,
τὸν μὲν καλλείπων, τὸν δ' αἱρόμενος χθονὸς αἶψα
αὖ ἐρύων, τῷ δ' αὖτις ἀάσχετος ἰθὺς ὀρούων.
Ὡς δ' ὁπότ' ἐν πολέμοισιν ἀρήϊον ἄνδρα κρατειὸν
δήϊος ἀμφιβάλῃ στεφάνῃ μαλεροῖο μόθοιο,
αὐτὰρ ὅγε πνείων μένος Ἄρεος ἔνθα καὶ ἔνθα
ἀΐσσει, παλάμῃ κραδάων πεφονωμένον ἔγχος,

173-174 om. K_1, restit. K_3 in marg. — 173 μένοντος M — 174 ἐπαιγίζουσιν M — 175 ὅγ' ἔν τ' ὀνύχεσσι : ὅγ' οὐνύχεσσιν L : ὁ τοῖς ὀνύχεσσι M || λευγαλέοισιν A_2 in litura KL — 176 ἐπαιθύσσων Turnebus : ἐπιθύσσων mss : ἐπαΐσσων Schneider[2] in *annot.* — 177 κατόπισθε om. M || μεταθρώσκων G.Hermann, *Opuscula*, t. VIII, p. 45 : μέγα θρώσκων KL : μεγανθρώσκων A_2 in rasura : μεγαθρώσσων M : μέγα θηρῶν BC_1DEF : μεγαθήρων G : μέγανθηρῶν I : μεγαθύμων C_2 : μεγα + + ων A_1 : μέγ' ἀνθηρῶν Turnebus : μεγασθενέων Brunck ap. Schneider[1] et in ms.Paris. S.gr.392,f. 31 v° : μέγα θροέων B. de Ballu in *animadv.* : μεγαφρονέων Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 335 || αἰζηὸς A_2 in litura BKLM — 178 τε, post παταγῶν, om. ABC_1DEFGI — 179 μεγ' ἀγήνωρ M — 180 ὑπὸ στόμα om. M || ἄλλον LM — vv. 181-247 post v. 383 inseruit D — 181 δόγμενος M : δόχμιος ABCDEFGIK_3 || θῆρα κελαινὸν ὀρίνει KL — 182 ἄλλος CDEFGIL || δ' om. CDEF || ἄλλος δ' ἄλλοθε πάλιν ἐπασσύτεροι κλονέουσι L — v. 184 om. K_1, restit. K_2 in marg. — 186 θύσσων GI : θήσειν CDEF : θύσειν A_1 — 187 καλλιπὼν ABCDEFG : καταλιπὼν I : καλύπτων M || αἰρόμενον M || αἶψα : ὦψι Schneider[2] in *annot.* — 188 ἀερύων Miller, *Oppian's Gedicht von der Jagd*, IV, p. 42 || ἀάσχετος : ἄσχετος A_2 in litura BM : ἀλοχεστος A_1 : ἀλόχετος DEF : ἀγλόχετος C : ἀλόσχετον (ἴσκεται supra ὁσχετον scriptum est) G : ἀλίσκεται I : ἀνάσχετος Brodaeus, *Annotationes*, p. 138 || de ms. I cf. p. 16 — vv. 189-199 om. I — 190 ἀμφιβάλει G : ἀμφιβάλλει M — 191 ὅγ'

ὀψὲ δέ μιν δάμνησιν ἐνυάλιος λόχος ἀνδρῶν,
πάντες ὁμοῦ βρίσαντες· ὁ δ' ὀκλάζει κατὰ γαίης,
βαλλόμενος πυκινῇσι τανυρροίζοισιν ἀκωκαῖς·
ὣς δ' ἀνηνύστοισιν ἀπειπάμενος καμάτοισιν
ὀψὲ βροτοῖσιν ἔδωκε βραβήϊα πάντα μόθοιο·
ἀφρὸν ἀποσταλάει δὲ ποτὶ σχερὸν αἱματόεντα·
εἴκελος αἰδομένῳ δὲ ποτὶ χθόνα κανθὸν ἐρείδει.
Ὡς δὲ βροτὸς πολλοῖσιν ἐρεψάμενος κοτίνοισι
πυγμαχίης ἐν ἀγῶσιν, ὑπ' ἀνέρος ἀλκήεντος
ἄντην δ' ἀσσυτέρῃσιν ὑπ' ὠτειλῇσι δαμασθείς,
ἕστη μὲν πρώτιστα λελουμένος αἵματι λάβρῳ,
οἷα μεθυσφαλέων, ἑτεροκλινέων τε κάρηνον·
αὐτὰρ ἔπειτ' ἐπὶ γαῖαν ὑποκλαδὸν ἐξετανύσθη·
ὣς δ' ἐπὶ ψαμάθου κεκαφηότα γυῖα τάνυσσεν.
Οἱ δὲ τότ' ἐγκονέουσι πολὺ πλέον, αἶψα δ' ὕπερθε
πάντες ἐρεισάμενοι κρατεροῖσι δέους' ὑπὸ δεσμοῖς
οὐδὲν ἀλευόμενον, μάλα δ' ἤρεμον ἀτρεμέοντα.
Ὦ μέγα τολμήεντες, ὅσον χάδον, ὅσσον ἔρεξαν,
αἰνὸν κεῖνο πέλωρον ἄτε κτίλον ἀείρουσιν.
Ἔκλυον ὡς βόθροισιν ὁμοίοισίν τε δόλοισι
θήρασσαν καὶ θῶας ἀναιδέας, ἠδὲ γένεθλα
πορδαλίων ἀπάτησαν, ἀτὰρ πολὺ μείοσι βόθροις·
κίονα δ' οὐχὶ λίθοιο, δρυὸς δ' ἐτάμοντο κεραίην·

ἐκπνείων KM — 195 de ms. L cf. p. 15 || πυκινοῖσι BL : πυκιναῖσι K || τανυρρίζοισιν K : τανυροίζοισιν CF : τανυρίζοισιν ABE : τανυρίζοισιν (οι suprascripto) D : τανυροίζησιν M : δοράτεσιν ἠδ' L — 196 ἀνηνύτοισιν GKL : ἀνηνήτοισιν M || ἀπειπάμενος : ἐπισπόμενος L — 198 δὲ : τε K — σχερὸν 198-ποτὶ 199 om. A_1BCDEFG — 198 σχερὸν Wernicke, *Tryphiodor.*, p. 64 : χέρσον A_2KLM : χέρον Schottus, *Observationes humanae*, p. 88 : ξερὸν Spitzner, *de versu heroïco*, p. 46 (cf. Rzach, *Sitzungsberichte. Wien*, C, 1882, p. 319) — 199 εἴκελος Schottus, *loc. cit.* : ἴκελος A_2KLM || ἐρείδων. A_1BCDEFG — 202 δ' seclusit Brunck ap. Schneider[1]. Cf. vero IV, 439 — 204 ἑτεροκληνέων A_1 : ἑτεροκλονέων BCDEF : ἑτεροκλίνων Bodinus, *Oppiani de venatione... commentarius*, f. 105 v°. Sed cf. Symm., *Ps.*, 16, 11 — 206 ψαμάθοιο A : ψαμάθω L — 208 ἐρεισάμενοι Pierson, *Verisimilia*, p. 174 : ἐρεισάμενοι A_2 in litura : ἐρυσάμενοι IM : ἐρυσσάμενοι A_1BCDEFGKL || δέους' ὑπὸ δεσμοῖς : δέουσιν ἱμᾶσιν KL — 209 ἀλευάμενον ABCDEF || ἤρεμον : ἤμενον K_1LM || ἀτρεμόωντα I — 213 θήρασαν CDGIL : θήρευσαν K — 214 παρδαλίων KM. Cf. *Paraphr.*, p. 40, 15 παρδάλεις || αὐτὰρ A_1I — 215 δ' (post κίονα) :

οὐδὲ μὲν ὑψικρεμῆ χιμάρου γόνον ἠώρησαν,
ἀλλὰ κυνός· τοῦ δ' αὖτ' ἀπὸ μήδεα δῆσαν ἰμάσθλαις
λεπταλέαις· ὁ δ' ἄρ' ὦκα περισπερχὴς ὀδύνῃσιν
ὠρυθμοῖς ὑλάει, καὶ πορδαλίεσσιν ἀϋτεῖ·
ἡ δὲ μάλ' ἰάνθη, διά τε δρίος ἴθὺς ὀρούει.
Ὡς δ' ὁπότ' ἰχθυβόλοι κύρτου δόλον ἐστήσαντο,
πλεξάμενοι σπάρτῳ Σαλαμινίδι, καὶ λαγόνεσσι
πούλυπον ἢ κεστρῆα πυρὶ φλεγέθοντες ἔθεντο·
ὁδμὴ δ' ἐς πλαταμῶνας ἀφίκετο, καὶ ποτὶ κύρτον
ἔλλοπας αὐτομόλους εἰσήγαγεν, οὐδὲ δύνανται
αὖτις ὑπεκδῦναι, δεινοῦ δ' ἤντησαν ὀλέθρου·
ὣς κείνη, σκυλακῆος ἀπόπροθεν εἰσαΐουσα,
ἔδραμε καὶ θόρεν, οὔτιν' ὀϊσσαμένη δόλον εἶναι,
γαστέρι πειθομένη δὲ μυχοὺς ἐπέλασσε βερέθρου.
Πορδάλιας καὶ δῶρα Διωνύσοιο δάμασσαν,
θηροφόνων δολερῶν δολερὴν πόσιν οἰνοχοεύντων,
οὐδὲν ἀλευομένων ζαθέοιο κότον Διονύσου.
Πορδάλιες νῦν μὲν θηρῶν γένος, ἀλλὰ πάροιθεν
οὐ θῆρες βλοσυραί, χαροπαὶ δ' ἐπέλοντο γυναῖκες,
οἰνάδες, ὠσχοφόροι, τριετηρίδες, ἀνθοκάρηνοι,
Βάκχου φοιταλιῆος ἐγερσιχόροιο τιθῆναι.
Νηπίαχον γὰρ Βάκχον Ἀγηνορὶς ἔτραφεν Ἰνὼ,

τ' KL || λίθοιο Turnebus : λίθοις ABCDEFGIKL : λίθου M — 216 ὑψικρεμνῆ A_2LM (cf. *Paraphr.*, p. 40, 18 in adnot. crit. ὑψικρεμνὴς) : ὑψικρεμου K_1 : ὑψιβρεμῆ A_1 — 218 λεπταλέησιν K || ἄρ' om. KL || περισπέρχων K — 219 ὠρύθμω K || παρδαλίεσσιν KM. Cf. *Paraphr.*, p. 40, 19 πάρδαλις || καὶ πόρδαλις ὅσσαν ἀκούει Koechly, *Conjectanea in Apoll. et Opp.*, p. 335 : καὶ πόρδαλιν ἔς ἑ ἀϋτεῖ G. Hermann, *Opuscula*, t. VIII, p. 45. Sed de numeris mutatis cf. I, 445; II, 510; IV, 8 — 220 δρίος : δρυὸς A_2 in litura BCDE FIKM — vv. 221-228 om. I — 222 σαλμύκιδι Brodaeus, *Annotationes*, p. 139 : σαλαβίνιδι Isaac Vossius, *Pompon. Mel.*, p. 257 : Ἰβηρίσι, coll. Opp., *Hal.*, III, 342, Miller, *Oppian's Gedicht von der Jagd*, IV, p. 43 — 223 φλέξαντες KL — 224 ἐς : ἐπὶ CDEFG — 226 δεινοῦ : λίχνου K_1LM. Cf. *Paraphr.*, p. 40, 21 διὰ τὸ λίχνον — 227 κείνης BC || σκύλακος K_1 || ἀπόπροσθεν ABC$_1$LM — 229 μυχοῖς K || ἐπέρασσε Guietus ap. Schneider[1] — 230 παρδάλιας M. Cf. *Paraphr.*, p. 40, 24 παρδάλεις — 231 δολερῶν om. IKM — 232 οὐδὲν : μηδὲν CDEF || ἀλευαμένων AIKL — 233 παρδάλιες M — 234 βλοσσυραὶ C_1DEFGM : βλοσυροὶ ABI : βλοσσυροὶ C_2 || δὲ πέλοντο BG : δὲ πέλοντος M — vv. 235-250 om. A_1, restit. A_2 in marg. — 235 ὡς λοφόροι B : αἰσχοφόροι I : ὀσχοφόροι Schneider[2], sed cf. Alciphr., *Epist.*, ed. Schepers, I, 11, 1 — 237

μαζὸν ὀρεξαμένη πρωτόρρυτον υἱεῖ Ζηνός·
σὺν δ' ἄρ' ὁμῶς ἀτίταλλε καὶ Αὐτονόη καὶ Ἀγαύη·
ἀλλ' οὐκ ἦν Ἀθάμαντος ἀταρτηροῖσι δόμοισιν,
οὔρεϊ δ' ὃν τότε Μηρὸν ἐπικλήδην καλέεσκεν.
Ζηνὸς γὰρ μεγάλην ἄλοχον μέγα δειμαίνουσαι
καὶ Πενθῆα τύραννον Ἐχιονίδην τρομέουσαι,
εἰλατίνῃ χηλῷ δῖον γένος ἐγκατέθεντο,
νεβρίσι δ' ἀμφεβάλοντο καὶ ἐστέψαντο κορύμβοις
ἐν σπείῃ, καὶ περὶ παῖδα τὸ μυστικὸν ὠρχήσαντο·
τύμπανα δ' ἐκτύπεον, καὶ κύμβαλα χερσὶ κρότεινον,
παιδὸς κλαυθμυρίδων προκαλύμματα· πρῶτα δ' ἔφαινον
ὄργια κευθομένῃ περὶ λάρνακι· σὺν δ' ἄρα τῇσιν
Ἀόνιαι λάθρῃ τελετῶν ἅπτοντο γυναῖκες·
ἐκ δ' ὄρεος πιστῇσιν ἀγερμοσύνην ἐτάρῃσιν
ἔντυον ἰθῦσαι Βοιωτίδος ἔκτοθε γαίης·
μέλλε γὰρ ἤδη, μέλλεν ἀνήμερος ἡ πρὶν ἐοῦσα
γαῖα φυτηκομέειν ὑπὸ λυσιπόνῳ Διονύσῳ.
Χηλὸν δ' ἀρρήτην ἱερὸς χορὸς ἀείρασαι,
στεψάμεναι νώτοισιν ἐπεστήριξαν ὄνοιο·

Βάκχον : ἴακχον G — 238 μαστὸν K — 239 σὺν : ὡς K — 240 ἦν : εἶν C : εἴν DEF : εἰν A_2 G || δόλοισι M_1 — 241 οὔρη δ' ὃν M : οὐρειδὸν L : οὐρηδὸν CDE FK : οὔρει δ' ὅτέ I : οὔρει ὃν Σ || τότε om. B : τε I — 242 μεγάλου K || μέγα : μάλα GM — 243 ἐχιονέα K_1 — 244 εἰλατίνῃ Brodaeus, *Annotationes*, p. 141 (cf. *Paraphr.*, p. 41, 1 ξυλίνῳ) : εἰλαπίνῃ A_2BCDEFIKM : εἰλαπίνης L : εἰλατρίνῃ G || χηλῷ δῖον sic G (cf. *Paraphr.*, *loc. cit.* λάρνακι τὸν παῖδα) : χιλῶ δῖον A_3 in litura K_3 : χιλῶ δῖον ἐὸν B : ζηλώδει ἐὸν A_2I : ζηλώδη ἐὸν DEF : ζηλῶ δὴ ἐὸν C : ζήλω δὲ ἐὸν KLM — 245 νευρίσι IL : νευραῖσι BCDEF || δ' : τ' GM || ἀμφιβάλοντο A_2CM : ἀμφιβάλλοντο I — 246 ἐν σπείῃ B : ἐννεπεῖ CDEF : ἐνάπει L : ἐνιπῇ l : ἐν᾽ πῃ A_2 : ἐν σπῆι Lobeck, *Pathologiae... elementa*, I, p. 261 — 247 κύμβαλα δ'... καὶ τύμπανα K — 248 κλαυθμυρισμῶν C_2G : κλαυθμυριμῶν (-ίμων B) BC_1E : κλαυθμυρίμωνος D : κλαυθμυριθμῶν l : κλαυμῶν F : κλαυθμυριζ... A_2 : κλαυθμυρῶν Brunck ap. Schneider² : κλαυθμυρμῶν Lehrs, *Questiones epicae*, p. 345 — 250 α + ν + α + A_2 : ἀονια A_3 in litura : δόνια CDEF : σιδωνίας I || τελετῶν ἅπτοντο : τε τίς ἔποντο I || γυναικὸς CDEFI — 251 rursus incipit A_1 (vid. v. 235) || ἀγερμοσύνην Brodaeus, *Annotationes*, p. 142 : ἀτερμοσύνην ABCDEFGIK : ἀτερμοσύνη LM : ἀγυρμοσύνην Brodaeus, *loc. cit.* — 252 ἔντυον KM || ἔκτοθι A_1BCDFGIKM : ἔτοθι E — 253 ἤδη : ἥδε CDEF : ἠδὲ G — 255 χηλὴν Schneider², typothetae errore ut videtur || ἀρρήτην Brodaeus, *loc. cit.* : ἀρήτην (ι supra ή scriptum est in G) mss — 256 πεψά-

Εὐρίπου δ' Ἵκανον ἐπ' ᾐόνας, ἔνθα κίχανον
πρέσβυν ὁμοῦ τεκέεσσιν ἁλίπλαγκτον· ἀμφὶ δὲ πᾶσαι
γριφέας ἐλλίσσοντο βυθοὺς ἀκάτοισι περῆσαι·
αὐτὰρ ὅγ' αἰδεσθεὶς ἱερὰς ὑπέδεκτο γυναῖκας.
Καὶ δή οἱ χλοερὴ μὲν ἐπήνθεε σέλμασι μῖλαξ,
πρύμναν δ' ὡραίη ἔλινος καὶ κισσὸς ἔρεπτεν·
καί κεν ὑπὲρ πόντοιο κυβίστεον ἀσπαλιῆες
δείματι δαιμονίῳ πεπτηότες, ἀλλὰ πάροιθεν
ἐς γαῖαν δόρυ κέλσε· πρὸς Εὐβοίην δὲ γυναῖκες
ἠδ' ἐπ' Ἀρισταίοιο θεὸν κατάγοντο φέρουσαι,
ὅσθ' ὑπάτου μὲν ἔναιεν ὄρει κεράεσσιν ὑπ' ἄντρου,
μυρία δ' ἄγραυλον βιοτὴν ἐδιδάξατο φωτῶν·
πρῶτος ποιμένιον ἱδρύσατο, πρῶτος ἐκεῖνος
καρποὺς ἀγριάδος λιπαρῆς ἔθλιψεν ἐλαίης,

